> *Τρία γένη τῶν πολιτικῶν εἰσι λόγων τὸ μὲν δημηγορικὸν, τὸ δὲ ἐπιδεικτικὸν, τὸ δὲ δικανικόν· εἴδη δὲ τούτων ἑπτὰ, προτρεπτικὸν, ἀποτρεπτικὸν, ἐγκωμιαστικὸν, ψεκτικὸν, κατηγορικὸν, ἀπολογητικὸν καὶ ἐξεταστικὸν ἢ αὐτὸ καθ' αὑτὸ ἢ πρὸς ἄλλο. τὰ μὲν οὖν εἴδη τῶν λόγων τοσαῦτα ἀριθμῷ ἐστι.*

quae omnia mea supra dicta redarguunt. Audio et nunc ita legi scio, sed veteres non legisse et locum interpolatum esse atque aliter refingendum item scio, ne quae de sententiae apud Quintilianum nexu locutus sum repetam. Vide modo quae Anonymus ineditus in Hermogenem habet Cod. Monac. CXXIII. fol. 169:

> *εἰδέναι χρὴ ὅτι γένος μὲν εἶναί φασι τὴν ῥητορικὴν, εἴδη δὲ αὐτῆς οἱ μὲν δύο, πραγματικὸν καὶ ἐπιδεικτικὸν, οἱ δὲ τρία δικανικὸν, συμβουλευτικὸν, πανηγυρικόν. εἰσὶ δ' οἳ καὶ τέταρ-*

[42]) Apud Quintilianum et alibi glossemata inveniuntur, v. c. paulo post III. 6, pag. 236: *quod nos statum, id quidam constitutionem vocant, alii quaestionem, alii quod ex quaestione appareat. Theodorus [generale] caput, id est κεφάλαιον γενικώτατον ad quod referantur omnia.* Illud *generale* quo omnes carent libri scripti ex inepta est emendatione Regii, quod infra pag. 242. legitur *generale caput* et de eodem Theodoro idem pag. 251; scilicet verba captant, sensum negligunt. Nam *γενικὸν κεφάλαιον* ipsa est una *κεφαλαίου* species, altera *εἰδικὸν*, ut Hermagorae *στάσις νομικὴ καὶ λογική*; sed hoc in loco nude status nomen notandum est; itaque certissime illud *γενικώτατον* delendum est monstrosum; et ne sit dubitationi locus, vide Augustini principia rhetor. pag. 523.: *in ea uterque consistit, omisso quod ante dicebat, unde ei quaestioni status nomen impositum est. Hoc idem Theodorus κεφάλαιον appellat translatatione usus videlicet principali parte corporis, quod in hoc etiam complexu duorum, quae utrinque dicta sunt, quasi caput quoddam* totius controversiae efficitur.

τον τούτοις προστιθέασιν τὸ ἱστορικόν. [23]) ΑΡΙΣΤΟΤΕΛΗΣ δὲ δύο γένη φησὶν εἶναι τῶν πολιτικῶν λόγων δικανικόν τε καὶ δημηγορικόν, εἴδη δὲ ἑπτά, προτρεπτικόν, ἀποτρεπτικόν, ἐγκωμιαστικόν, ψεκτικόν, κατηγορικόν, ἀπολογητικόν, ἐξεταστικόν· τὰ μὲν οὖν ἓξ ἐν τῷ λέγοντί φησι θεωρεῖσθαι, τὸ δὲ ἕβδομον ἐν τοῖς ἀκροωμένοις οἵπερ τῶν λεγομένων ἑκάστων ἐξετάζουσιν. ὁρίζεται δὲ αὐτὸ οὕτως: ἐξεταστικόν ἐστι κρίσις προαιρέσεων ἢ λόγων ἢ πράξεων πρὸς ἄλληλα καὶ πρὸς τὸν ἄλλον βίον ὁμολογούντων ἢ ἐναντιουμένων [24]) ἡ μὲν οὖν ἀπὸ τῶν γενῶν εἰς τὰ εἴδη διαίρεσις περὶ τούτων διαλαμβάνουσα τοὺς ἑκάστῳ προσήκοντας ἀποδίδωσι λόγους, ἡ δὲ ἀπὸ τῶν ὅλων εἰς μέρη τοιαύτη τίς ἐστιν, τοῦ πολιτικοῦ λόγου ὅλου ὄντος οἱ μὲν ἔφα-

---

[23]) Utinamne auctorem huius sententiae innominatum Syrianus neglexisset; nam ex omnium rhetorum scriptis quae haud pauca supersunt, quartam hanc speciem solus habet Anonymus *περὶ ῥητορικῆς* apud Galeum pag. 188: *εἴδη τοῦ ῥητορικοῦ τέσσαρα, δικανικόν, συμβουλευτικόν, ἐγκωμιαστικόν, ἱστορικόν .... ἱστορικὸν δὲ ἐν ᾧ διηγούμεθα πράξεις τινὰς μετὰ κόσμου ὡς γενομένας.* Quod si nomine suo nuncupatus esset inventor, e cuius technici scriptis anonymi libellus esset excerptus, non sine fructu doceremur. Quantum ex paucis illis fragmentis coniicere libet, Theodori Gadarei vestigia praeter alios eiusque singulas divisiones inprimis sequi videtur. At qui sunt illi qui Aristotelem aetate praecedentes acute unum genus rhetoricen, duas vero species *πραγματικὸν* et *ἐπιδεικτικὸν* fecerint? nescio, sed Theodoro vel Isocrati non inepte affingi potest.

[24]) Anaximenes pag. 57, cap. 5: *ἐν κεφαλαίῳ μὲν οὖν εἰπεῖν ἡ ἐξέτασίς ἐστι προαιρέσεως ἢ πράξεων ἢ λόγων πρὸς ἄλληλα ἢ πρὸς τὸν ἄλλων βίον ἐναντιουμένων ἐμφάνισις.* ultima haec vox non est in scholiasta qui habet supra eius loco *κρίσις*, sed ex illo auctore reddendum: *βίον ὁμολογούντων ἢ ἐναντιουμένων.* Corrupta leguntur etiam verba pag. 6: *νῦν δ' ὑπὲρ τῶν ὑπολοίπων. ἃ τῶν τριῶν εἰδῶν ἐστι καὶ παρὰ πάντας τοὺς λόγους χρήσιμα γίνεται, διδάσκειν ἐπιχειρήσαμεν.* Sententia qualis flagitetur constat ex pag. 59; videtur esse reponendum: *νῦν δὲ τῶν ὑπολοίπων ὑπὲρ τῶν τριῶν ἃ πάντων τῶν εἰδῶν ἐστι καὶ κ. τ. λ.*

σαν εἶναι μέρη προοίμιον, διήγησιν, ἀντίθεσιν, λύσιν, ἐπίλογον, οἱ δὲ καὶ πλείω τούτων, πλὴν εἰς τὰ πέντε καταντῶσιν οἱ πάντες κἂν τοῖς ὀνόμασιν διαφέρωνται.

eadem fere Syriani nomine, sed compilata (noster ineditus integrum Syrianum descripsisse videtur) leguntur in editis ad Hermogenem apud Aldum pag. 24:

οἱ γάρ τοι περὶ τῆς διαιρέσεως πραγματευόμενοι τῆς ἀπὸ τῶν γενῶν εἰς εἴδη τῆς ῥητορικῆς, γένος μὲν εἶναί φασι τὴν ῥητορικὴν, εἴδη δὲ αὐτῆς οἱ μὲν δύο πραγματικὸν καὶ ἐπιδεικτικὸν, οἱ δὲ τρία δικανικὸν, συμβουλευτικὸν, πανηγυρικόν. εἰσὶ δ' οἱ καὶ τέταρτον προστιθέασιν ἱστορικόν. ΑΡΙΣΤΟΤΕΛΗΣ δὲ δύο γένη τῶν πολιτικῶν λόγων δικανικὸν καὶ δημηγορικὸν, εἴδη δὲ ἑπτὰ, προτρεπτικὸν, ἀποτρεπτικὸν, ἐγκωμιαστικὸν, ψεκτικὸν, κατηγορικὸν, ἀπολογητικὸν, ἐξεταστικὸν, ὃ μόνον τὸ ἐξεταστικὸν φημι ἐν τοῖς ἀκροωμένοις ἐστὶν οἵπερ τῶν λεγομένων ἕκαστον ἐξετάζουσι, τὰ δὲ ἄλλα ἓξ ἐν τῷ λέγοντι, καὶ αὐτὴ μὲν ἡ ἀπὸ τῶν γενῶν, ἡ δὲ ἀπὸ τῶν ὅλων εἰς μέρη τοιαύτη. τοῦ πολιτικοῦ κ. τ. λ.

nonne haec certissima auctoritas quae vera me produxisse evincit? Neque mirum in graecis exemplis tale inveniri supplementum; Aristotelis enim orationis divisio omnibus accepta sciolum aliquem qui duo illa genera quae in libris invenerat, de suo mutaret in tria, ne auctor Aristotelis nomen in fronte ferens sibi ipsi contradiceret, movit. Illud etiam addendum fortasse invito Syriano nunc Ἀριστοτέλης vulgari quod cum prima et postrema amborum syllaba eadem sit, magisque celebre pervulgatumque esset nomen, facile ex nomine Ἀναξιμένης oriri potuit. Et duo genera auctor ipse requirit; nam pag. 31. dicit: πάλιν δὲ διωρισώμεθα καὶ περὶ πόσων καὶ ποίων καὶ τίνων ἔν τε τοῖς βουλευτηρίοις καὶ ταῖς ἐκκλησίας συμβουλεύσομεν. Vides et hic et sic semper in sequentibus ἐπιδεικτικὸν tertium illud desiderari; nempe ἡ βουλὴ καὶ ὁ δῆμος sunt quae sola Anaximenes agnoscit. Sed hoc non sufficit; ut enim interpolatum videmus contextum, ita vel in primis verbis mancus est; illa enim τὰ μὲν

οὖν ἓξ ἐν τῷ λέγοντί φησι θεωρεῖσθαι, τὸ δὲ ἕβδομον ἐν τοῖς ἀκροωμένοις οἵπερ τῶν λεγομένων ἕκαστον ἐξετάζουσιν in hac Anaximenis arte desunt; exciderunt nempe iisdem verbis τὰ μὲν vel etiam τὰ μὲν οὖν repetitis et totus auctoris locus ita reponendus est:

> Δύο γένη τῶν πολιτικῶν εἰσὶ λόγων τὸ μὲν δημηγορικόν, τὸ δὲ δικανικόν. εἴδη δὲ τούτων ἑπτὰ προτρεπτικόν, ἀποτρεπτικόν, ἐγκωμιαστικόν, ψεκτικόν, κατηγορικόν, ἀπολογητικόν καὶ ἐξεταστικόν ἢ αὐτὸ καθ' αὑτὸ ἢ πρὸς ἄλλο. τὰ μὲν [οὖν] ἓξ ἐν τῷ λέγοντι θεωρεῖται, τὸ δὲ ἕβδομον ἐν τοῖς ἀκροωμένοις οἵπερ τῶν λεγομένων ἕκαστον ἐξετάζουσιν. τὰ μὲν οὖν εἴδη τῶν λόγων τοσαῦτα ἀριθμῷ ἐστι.

Hanc Anaximenis artem ante Aristotelis libros de rhetorica editam esse paucis ostendamus. Praefatio illa tam mira cuius finem nemo adhuc intellexit aut auctoris est aut non est. Illud si verum, non est quod multa disputemus; ad Alexandrum enim scribitur, satis iuvenem ut vel haec declarant verba pag. 16:

> ὥσπερ γὰρ ἐσθῆτα σπουδάζεις τὴν εὐπρεπεστάτην τῶν λοιπῶν ἀνθρώπων ἔχειν, οὕτω δύναμιν λόγων λαβεῖν ἐστί σοι πειρατέον [nondum igitur nactus erat] τὴν εὐδοξοτάτην.

Egregia esset adhortatio si iam accepto imperio veluti tironi et puero adhuc Alexandro ut lites causasque ageret successu, ars oratoria erat ediscenda; idem docet locus qui legitur pag. 20. seq. Iam si haec ante Philippi obitum conscripta est, multo post sequi constat Aristotelis libros qui ut Dionysius vidit post Demosthenis causam lucem aspexerunt; quae enim Victorius et Buhle ad hunc refutandum protulerunt alia sunt falsa, alia nihil demonstrant.

Quod si epistola ad Alexandrum non est auctoris, quod mihi persuasum et fortasse ab eadem manu est confecta quae ut initium libri ita alios quoque locos interpolavit *), item ante

*) *Quae calci operis* adhaerent (vid. Buhle pag. 182. seq.) facile

annum 330 vulgatam esse hanc artem docebimus. Anaximenes ubique democratiae statum in animo habet, ex hac quae oratori sint dicenda depromit, oligarchiam quoque agnoscit pag. 38. seq., sed pauca vel nulla potius de illa affert, de regno et monarchia in tota arte ne γρῦ quidem; inde iam non ad Alexandrum in eiusque gratiam scriptam esse concludas. Totus enim libellus in futuri oratoris usum qui ipse scribere, causas agere, lites defendere studeat, magis adaptatus quam re vera θεωρητικῶς explanatus quales illi Aristotelis; et sic omnes quae praecederent artes fuisse probabile est; nam etiamsi nihil sanum in illa praefatione exstat, haec tamen vera sunt: παρειλήφαμεν καὶ τῶν λοιπῶν τεχνογράφων εἴ τίς τι γλαφυρὸν ὑπὲρ τῶν αὐτῶν τούτων γέγραφεν ἐν ταῖς τέχναις. Inde in utramque partem dantur praecepta, et qua ratione si accuses, iure et veritate quibus adversarium in exitium ducas utaris, et si iure es accusatus dignusque qui capite plectaris nec ab ulla parte veritas te defendere valet, quibus rationibus ne meritam subeas poenam, effugias, auditoribus imponas, crimina argumentis in alios deportes, dolum struas, mendacii arguas, falsis veri praebeas imaginem. — Haec et similia oratori non modo utilia, sed necessaria sunt; et tale erat initium quoque artis ut supra de Corace vidimus.

Exempla quae in hac inveniuntur et ad aetatem definiendam conducunt haec sunt quae leguntur pag. 68. seqq. cap. 8.

---

quidem in suspicionem veniant, cum plura iisdem quibus supra legantur verbis. Sed haud pauca sunt quae frustra in superioribus requiras, v. c. φιλίαν δὲ σιησόμεθα πρὸς τοὺς ὁμοιοτρόπους ἡμῖν καὶ οἷς ταὐτὰ συμφέρει καὶ οις περι τὰ μέγιστα ἀναγκαῖόν ἐστιν ἡμῖν κοινωνεῖν· γὰρ τοιαύτη μάλιστα συμβαίνει φιλία quae Aeschinis sententia nota ex Demosth. ὑπερ Κτησιφ. pag. 237. R.; nec quae repetita sunt, eodem quod fieri solet collocantur ordine, unde non conferam haec cum istis in Aristot. Rhet. III, 16, male e superioribus translatis (conf. Victor. pag. 827. Basil.). Quare videndum ne alius rhetorici libri deperditi hoc sit fragmentum quod Anaximenis artis fini adhaerens alii minus recte verbis ὥσπερ προείρηται coniungere studebant. Ex hoc Anaximeni pag. 42. πλῆθος ἢ ῥώμην reddendum; male vero πρὸς δὲ τοὺς πολίτας legitur quod apparet e pag. 33.

Exulum Athenas reditus = Olymp. XCIV, 1 = 403.
Proelium ad Leuctra commissum = Olymp. CII, 2 = 371.
Dion Syracusas traiiciens Dionysium debellat = Olymp. CV, 3 = 358.
Corinthii novem triremibus Syracusanis auxilium ferentes Carthaginienses vincunt = Olymp. CIX, 1 = 340.

ergo ante hunc annum non erat scriptus hic liber, sed circa id tempus, et paulo post quae orator ipse fingit exempla ad rem aliquam demonstrandam ex Syracusano sumpta bello, demonstrant ut pag. 101:

ἐγὼ δὲ οὐ μόνον τούτων αἴτιος ὑμῖν ἐγενόμην, ἀλλὰ καὶ Τιμόθεον μέλλοντα στρατεύειν ἐφ' ὑμᾶς διεκώλυσα.

pag. 109:

ἀνέστην συμβουλεύσων ὡς χρὴ πολεμεῖν ἡμᾶς ὑπὲρ Συρακουσίων. ἀνέστην ἀποφανούμενος ὡς οὐ χρὴ βοηθεῖν ἡμᾶς Συρακουσίοις.

pag. 125:

ὡς μὲν δίκαιόν ἐστιν ἡμᾶς βοηθεῖν Συρακουσίοις ἐκ τῶν εἰρημένων ἱκανῶς ἀποδεδεῖχθαι νομίζω· ὡς δὲ καὶ συμφέρει ταῦτα πράττειν, ἐπιχειρήσω διδάσκειν.

aliaque exempla ad praecepta explicanda conficta quibus auctorem de rebus suae aetatis et recens gestis loqui docemur. Haec itaque ars intra annorum spatium 340 = 330 ante Chr. emissa videtur.

Dionysius in Isaei iudicio pag. 366 Reisk. de Anaximene dicit: *καὶ τέχνας ἐξενήνοχεν*, hoc est, artem pluribus libris comprehensam, ut an noster valde tenuis intelligatur libellus in dubio verseris, et inde cuipiam nihil nisi spissioris operis, qualis Aristotelis ars poetica est nunc superstes esse eclogen in mentem veniat; sed ille multitudinis numerus apud Dionysium non arcte urgendus neque alium atque hunc ipsum quem nos legimus in mente habuit.

Nunc qualis sit videamus. Proprium Anaximeni ab Quin-

tiliano duo rhetorices genera et septem species attribuuntur quas qui praeter hunc attulerit neminem scio. Oratoris campus cum satis sit largus et genus quodque suas quae latius sese expandunt, habeat varietates v. c. iudiciale sit diversum, itaque diverso tractari debeat modo, si quae in singula quaeque cadunt, diligenter collecta observantur et praeceptis enodantur, qui rhetoricen doceri student multum iuvari, omnes vident. Haec tam opportuna Anaximenem primum tractasse non probabile et haud scio an quis Platonis quoque Phaedrum ad haec excolenda rhetores admonuisse censeat; idem certe praecipit ibi Socrates pag. 90 Bkk.:

> ἐπειδὴ λόγου δύναμις τυγχάνει ψυχαγωγία οὖσα, τὸν μέλλοντα ῥητορικὸν ἔσεσθαι ἀνάγκη εἰδέναι ψυχὴ ὅσα εἴδη ἔχει. ἔστιν οὖν τόσα καὶ τόσα, καὶ τοῖα καὶ τοῖα, ὅθεν οἱ μὲν τοιοίδε οἱ δὲ τοιοίδε γίγνονται. τούτων δὲ δὴ διῃρημένων, λόγων αὖ τόσα καὶ τόσα ἔστιν εἴδη, τοιόνδε ἕκαστον. οἱ μὲν [οὖν] τοιοίδε ὑπὸ τῶν τοιῶνδε λόγων διὰ τήνδε τὴν αἰτίαν ἐς τὰ τοιάδε εὐπειθεῖς, οἱ δὲ τοιοίδε διὰ τάδε δυσπειθεῖς. κ. τ. λ.

quae quum ex animi nascantur varietate, ψυχῆς εἴδη cognoscere oportet. Totius vero libri divisio haec est: quae in quamque harum speciem singula concurrunt, explanat; tum quae omnibus his communia paucis designat; iam fusius de argumentationibus disserit, περὶ πίστεων et εἰκότος, nempe περὶ παραδειγμάτων [25]), τεκμηρίων, ἐνθυμημάτων, γνώμης, σημείου, ἐλέγχου, et quae horum inter se sint differentiae; his subiiciuntur minores, ἐπιθέτους quas vocat, δόξα, μαρτυρίαι, μάρτυρες, ὅρκος. Sequuntur non ubique quidem adhibenda, sed utilia saepius, προκατάληψις, αἰτήματα, πα-

[25]) Scholiasta ad Hermog. pag. 362: παράδειγμα δέ ἐστιν ὡς ΖΗΝΩΝ φησὶν γενομένου πράγματος ἀπομνημόνευσις εἰς ὁμοίωσιν τοῦ νῦν ζητουμένου οἷον τὸ μὲν ζήτημα εἰ δεῖ πολλῶν σοφῶν τὰ μαθήματα συλλέγειν· τὸ δὲ παράδειγμα καὶ ἡ μέλιττα ἐπὶ πολλὰ βλαστήματα ἕρπουσα τὰ κάλλιστα ἀπ' αὐτῶν λαμβάνει. Accuratius hanc definit Aristoteles qui παραδείγματος esse speciem dicit eamque παραβολὴν nuncupat.

λιλογία, εἰρωνεία, schemata dicendi et περὶ τοῦ ἀστεῖα λέγειν καὶ λόγους μηκύνειν, (hic facile reliquias sophistarum veterum agnoscas); quibus absolutis altera pars de elocutione incipit, περὶ τρόπων ὀνομάτων, περὶ ἑρμηνείας, περὶ τοῦ σαφῶς δηλοῦν, περὶ ἀντιθέτων, παρισώσεων, ὁμοιοτήτων. Denique orationis sequitur dispositio, περὶ προοιμίου, περὶ διηγήσεως et qua ratione haec sit ordinanda, περὶ βεβαιώσεως quam excipit προκατάληψις eorum quae adversus dicta a te proferri possint occupans quam cum sit diversa cuiusque explanat speciei. Agmen claudit ἐπίλογος, ad finem tamen non perductus; desiderantur enim pauca quaedam.

Hi sunt viri de quorum in arte excolenda meritis fama ad nos pervenit, vix rarum spicilegium ex larga illa segete relictum; nam quemque fere egregium rhetorem eius aevi de quo nos agimus, non orationes modo scripsisse, sed artificiose etiam scientiam tractasse, de eaque libros τέχνας quas vocant composuisse invenimus. Sic iuvenili adhuc rhetorice principes qui in vulgi percurrebant ora magnum dederant librorum numerum, minime tamen quae sequitur, aetatis multitudinem aequiparantem. Et tamen haec aetas ne vera reticeamus sequentibus facilius est explicanda. Etenim ut v. c. medicus philosophiam non ea qua oportet subtilitate enodare valet et quae sua iam ars est, semper ad naturae leges, hoc est ad observationem et ἐμπειρίαν vel invitus retrahitur nec ita sese inde liberat ut hac remissa res ipsas ἁπλῶς consideret, quod tempora et historiae philosophiae ubique docent: ita oratores etiam veteres quamvis artem tractantes via tamen magis consueta et trita grassati solemni orandi more ita erant affecti, ut in his libris etiam exempla usui apta exciperent atque raro rhetorices intimam vim comprehenderent et qui subtilitate in arte ceteros longe praecessit, Theodorus Byzantius, in orationibus erat ieiunus et minime probatus ut rarissime utrumque coniunctum reperiamus eadem fortuna. Omnes enim Graeci rhetores magis in oratorum usum quae his utilia sunt omnia explanantes elaborabant, rei ipsi, personis neglectis, philosophi studebant, quod tum maxime fieri potuit, si eloquentia iam e foro secessit. Itaque philosophi sibi

rhetoricen vindicabant et qui sequuntur a Platone et Aristotele maiore ratione innumerabilibus difficultatibus impliciti praecepta et leges, non orationes dare solebant. Hi ad philosophiam quam professi sunt alii alio modo accurate discernebant, definiebant de quibus veteres ne somniabant quidem et statim in limine sitne ars rhetorice et quid sit multum haerebant.

FRAGMENTA

DE

ARTE RHETORICA

NUNC PRIMUM EDITA.

ΣΥΡΙΑΝΟΥ

ΕΙΣ

ΤΟ ΠΕΡΙ ΙΔΕΩΝ.

Ἅπαντα σχεδὸν ὅσα γε εἰς ἡμᾶς ἦκει τοῦ τεχνογράφου Ἑρμογένους συγγράμματα, θαυμαστά τε καὶ πολιτικῆς ἀνάμεστα φρονήσεως ὑπάρχει· φημὶ δὴ τό τε περὶ τῶν στάσεων αὐτοῦ σύγγραμμα, ὃ δὴ πολλοί τε καὶ ἄλλοι σοφιστῶν τε καὶ τῶν Πλατωνικῶν φιλοσόφων ὑπομνηματίζειν οὐκ ἀπηξίωσαν, τό τε περὶ μεθόδου δεινότητος καὶ τὰ εἰς τὸν Δημοσθένην ὑπομνήματα ὧν καὶ αὐτὸς ποιεῖται μνήμην, διαφερόντως δὲ τῶν ἄλλων τὸ περὶ τῶν ἰδεῶν αὐτοῦ σύνταγμα θαυμάζειν ἄξιον ὡς ἀρίστόν τε καὶ τεχνικώτατον καὶ τῆς τελεωτάτης καὶ κριτικῆς περὶ λόγους λέξεως οὐδαμῶς ἄμοιρον. ἐπειδὴ τοίνυν πολλὰ τῶν ἐν αὐτῷ κειμένων οὐ παντὶ ῥᾴδια συμβάλλειν, οὐδενὶ δὲ μεχρὶ καὶ τήμερον εἰς αὐτοὺς ὑπόμνημα γεγραφότι περιτετυχήκαμεν, ἀναγκαῖον ᾠήθην, ὦ φίλτατέ μοι τῶν ἐκγόνων Ἀλέξανδρε, βραχέα τινὰ πρὸς τὴν ἀκριβεστέραν ἀνάγνωσιν τοῦ βιβλίου συμβαλλόμενα κατά γε τὴν ἐμὴν συνθεῖναι δύναμιν. εἰ δέ τις καὶ βελτίω τούτων ἐπεισάγειν δυνηθείη λυσιτελοῦντα πρὸς τὸ προκείμενον, χάριν αὐτῷ παμπόλλην εἰσόμεθα, τὸν κοινὸν ἔρωτα ἔργοις, οὐ λόγοις ἡμῖν ἐπιδεικνύοντα. ἀλλὰ γὰρ προσευξάμενοι τοῖς λογίοις, ἀγαθὸν ἡμῖν καὶ τοῖσδε τοῖς πόνοις ἐπινεῦσαι τὸ πέρας, ἔργου ἐχώμεθα.

Εἰ περισπούδαστον ὅλως ἀνδρὶ πολιτικῷ τὰς ἀρε-

Vers. 1. SYRIANI introductio in Hermogenis librum *περὶ ἰδεῶν*. Cod. Monac. Nro. VIII. fol. 15. b. seqq. — 10. sic marg.; in textu *εἰς τὴν δημοσίαν*. — 24. sic sec. manus; prima ἐπιδεικνύονται. fort. *ἐπιδεικνύοντι*.

τὰς τοῦ λόγου μαθεῖν καὶ μὴ θέλειν μόνον διακρίνειν τοὺς τῶν ἀρχαίων χαρακτῆρας, ἀλλ' ἤδη που καὶ ποιεῖν παραπλησίους, δεῖ μεθόδους ἀναζητεῖν καὶ πονεῖν περὶ τὴν τούτων εὕρεσιν. οὐ γὰρ ἀεὶ οὕτω πρᾶγμα τῇ καταλήψει παγχάλεπον ῥᾷστα προσγένοιτό τινι κἂν ᾖ πάνυ πιστεύων τῇ φύσει· χωρὶς γὰρ τέχνης ἀνόνητα τὰ τῆς φύσεως *) πλεονεκτήματα, καθὰ καὶ ὁ τεχνικὸς φησὶν, ὅτῳ δὲ καὶ προσγένηται τῆς ἐπιστήμης ἡ γνῶσις, συμβάλλεται μέγα, κἂν ὁ τὴν τέχνην ἠσκημένος μετρίας εὐτυχήσῃ δεξιότητος. ἀλλὰ τὸ μὲν ἐπιχείρημα χαλεπὸν ἴσως ἂν ἦν, εἰ τὰς ἰδέας αὐτοὶ τῶν λόγων ἐπινοεῖν ἐσπουδάζομεν· νῦν δὲ τούτων ἡμᾶς τῶν πόνων ὁ τεχνικὸς ἠλευθέρωσε· τάχα γὰρ καὶ πολλὰ ταλαιπωρήσας τὶς οὐδὲν ἂν ἐξεύροι γενναῖον ὥσπερ καὶ οἱ πρὸ αὐτοῦ φαίνονται τηνάλλως ποιήσαντες. εἰ δὲ τὸ δυσχερὲς μὴ πρόσεστι, λέγω δὴ τὸ εὑρεῖν, καὶ τὸ παραστῆσαι τὸ εὑρεθὲν μετ' εὐκρινείας, τί λοιπὸν ἢ προθύμως ἀντιλαβέσθαι τῆς ὑποκειμένης πραγματείας, εἴπερ ἄρα φροντίζομεν λόγων οἱ κατ' αὐτὸ τοῦτο τῶν ἀλόγων διοίσοντες; σφόδρα γὰρ ἀνοήτους ἡγοῦμαι τοὺς σπουδάζοντας περὶ τὰς σωματικὰς πράξεις καὶ νομίζοντας μὴ τοσοῦτον ἐκ τῶν λόγων ὅσον ἐκ τῆς διαδοχῆς τῶν παίδων μνημονεύεσθαι· τοὺς μὲν γὰρ βραχὺς ἀφανίζει χρόνος, ὁ δὲ τὸν λόγον ἐργασάμενος ἄϊδιον καὶ μετὰ τὴν τελευτὴν τοῖς ἐγτυγχάνουσι καταλιμπάνει τὴν μίμησιν, ὥστε προτιμᾶν ἀναγκαῖον καὶ τὸν τοῦ Πλάτωνος λόγον, τὰ τῆς ψυχῆς ἔκγονα μᾶλλον ἢ τὰ τοῦ σώματος οὐ μόνον κατὰ τὸ τιμιώτερον, ἀλλὰ δήπου καὶ κατὰ τὴν ἡμετέραν αὐτοπροαίρετον ἐν τοῖς λόγοις διοίκησιν. ἐπὶ μὲν γὰρ τῶν παίδων ὁ δημιουργὸς τῶν τρόπων καὶ ὁ τῆς προαιρέσεως κύριος, τὸν δὲ λόγον ἡμεῖς κυβερνῶμεν καὶ ὡς ἂν βουληθείημεν, οὕτως αὐτὸν καὶ μεθοδεύομεν, ἐγκαλείτω δὲ μηδεὶς ἡμῖν πρὶν ἂν καταμάθοι σαφῶς τὸ λεχθέν· ἀναλογεῖ δὲ ὁ περὶ τῶν

Vers. 10. cod. εὐτυχήσοι; supra fort. ὅτῳ δὲ κἂν. — 12. cod. σπουδαζόμεν

*) Fol. 16.

ἰδεῶν λόγος τῷ ζώῳ καὶ ψυχῆς μὲν ἐπέχει τάξιν ἡ ἔννοια, τοῦ δὲ σώματος ὁ χαρακτήρ. ἀλλὰ δεῖ τὸν ἐπιστήμονα μὴ μόνον ἀκριβῶς γνῶναι τὴν ποσότητα τῶν χαρακτήρων, ἀλλὰ δὴ καὶ τὴν ἰδιότητα καὶ τὴν μίμησιν τὴν πρὸς τοὺς παλαιούς· μὴ γὰρ ἐκταράξωσιν ἡμᾶς οἱ παραφθεγγόμενοι καὶ λέγοντες ὡς ἀδύνατον ταῦτα καταλαβεῖν· ὥσπερ γὰρ οὐχ οἷόν τε τὴν ποσότητα τῶν καθέκαστα γνῶναι σαφῶς, οὕτω φασὶ καὶ τῶν χαρακτήρων ἀδύνατον, εἴπερ ὅλως ἀναλογοῦσι τῷ ζώῳ κατὰ τὸν ἡμέτερον λόγον *), καὶ ὅτι οὐχ οἷόν τε τῶν ἀτόμων παραστῆσαι τὰς ἰδιότητας· τὸ γὰρ παρακολουθοῦν τούτῳ γένοιτ' ἂν καὶ ἑτέρου δηλωτικόν, πλὴν εἰ καὶ καταλάβοις, ἄδηλον τὸ αἴτιον, τὸ σημαντικὸν τῆς ἰδιότητος, καὶ ὅτι τὰ καθέκαστα φασὶν ὃ ἐὰν λάβοι πρὸς τὴν ἑαυτοῦ μεταβάλλοι φύσιν, οἷον, οὐδὲν ἀσύμφορον τῷ εὐεκτοῦντι κἂν ᾖ βλαβερόν. τῷ δὲ κακῶς διακειμένῳ πάντα τοὐναντίον ἀσύμφορα κἂν ᾖ πάντα ἐπωφελῆ. πρὸς γὰρ τὴν ἐκείνου μεταβάλλεται κράσιν. οὕτως οὖν φασὶ καὶ τὰ ἐπιχειροῦντα μιμεῖσθαι τοὺς τῶν ἀρχαίων χαρακτῆρας ἀνόνητος ἡ σπουδή· πάντως γὰρ πρὸς τὴν ἑαυτοῦ φύσιν μεθοδεύσει τὸν λόγον, οὐ πρὸς τὴν ἑαυτοῦ μεταχείρησιν. εἰ δὲ καὶ διενοήθησάν τινες ἐπιγράψαι τοὺς χαρακτῆρας καὶ τὸ ποσὸν αὐτῶν συστῆσαι, τηνάλλως ἐποίησαν, ὧν εἷς ἐστιν ὁ Διονύσιος· οὗτος γὰρ τρεῖς εἶναι χαρακτῆρας φησὶ, τὸν ἰσχνὸν, τὸν μέσον, τὸν ἁδρόν· ὁ δὲ Ἵππαρχος προστίθησι τόν τε γραφικὸν καὶ τὸν ἀνθηρόν· ὁ δὲ Δημέτριος ἐκβάλλει τὸν γραφικὸν τοῖς τέτρασιν ἀρεσκόμενος. ἀλλ' εἰ καὶ συνέστειλαν οὗτοι φασὶ τοὺς χαρακτῆρας καὶ ὡρισμένον τῷ δοκεῖν αὐτοῖς ἀριθμὸν ἀποδεδώκασιν, ἀλλ' οὐδὲν ἧττον ἀκατάληπτοι πάλιν εἰσί· πολλοὺς γὰρ ἰσχνοὺς εὑρήσομεν πῇ μὲν ἐπίτασιν δεξαμένους, πῇ δὲ μείωσιν πάλιν. ὅταν γὰρ ἐπὶ τὸν ἁδρὸν ὁ ἰσχνὸς προβαίνῃ

Vers. 2. cod. ἀλλὰ δὴ τὸν — 14. fort. ὃ ἂν λάβῃ. — 16. ita margo; cod. καλῶς. — 19. fort. τοῦ ἐπιχειροῦνιος — 24. ita margo; cod. ὁ διονύ—

*) *Fol. 16. b.*

μὴ γινομένης ἰσορρόπου τῆς κράσεως, τοὺς χαρακτῆρας ἀπαρνεῖται τοὺς γ. οὔτε γὰρ ὃ κατὰ φύσιν ἰσχνός ἐστιν. νένευκε γὰρ μᾶλλον ἐπὶ τὸν ἐναντίον, οὔτε μέσος, ὑπερβέβηκε γὰρ τοῦτον, οὐδ' αὖ πάλιν ἄδρός. οὐ γὰρ πάντη τὴν ἰδίαν φύσιν μετέβαλλε καπὶ τῶν λοιπῶν ὡς ὁμοίως. ὃν τρόπον ὁ ἰσχνὸς ἀνίσου γινομένης τῆς μίξεως οὔτε μέσος ἐστὶν, οὔτε πάλιν ἄδρός, κατὰ τὸν αὐτὸν τρόπον καὶ ὁ ἄδρὸς κατὰ πρόσβασιν ἐρχόμενος· μὴ κατὰ μίξιν δὲ συνκερανύμενος οὐ γίγνεται [γὰρ] ἰσχνὸς, παρέρχεται δὲ τὸν μέσον, ἅτε μόνος αὐτὸς δεξάμενος τὴν ἐπίτασιν. τούτῳ δέ φασι τοὺς χαρακτῆρας τοὺς κατὰ τὸ μᾶλλον καὶ ἧττον, ποτὲ μὲν ἐπίτασιν δεχομένους, ποτὲ δὲ μείωσιν, καταλαμβάνειν ἀδύνατον. *) εἰ δὲ καὶ συγχωρήσομεν ἔτι εἶναι καταληπτοὺς, πόνων δεόμεθα καὶ ταλαιπωρίας πολλῆς πρὸς τὴν ἐπίγνωσιν, καὶ μετὰ τὴν κατάληψιν αὖθις ἡ γνῶσις ἀσύμφορος. ὅτι δὲ οὐ διὰ τῶν χαρακτήρων ἡ κατάληψις, ἐντεῦθεν εἰσόμεθα: τὰ ὑφ' ἡμῶν ἀποτελούμενα κατὰ ζῆλον ἑτέρων ἢ κατὰ φύσιν γίνεται ἢ κατὰ τύχην ἢ κατὰ τέχνην· ἢ γὰρ ἡ φύσις δωρεῖται παραπλησίως, οἷον ἡ τύχη καὶ τούτῳ λαμπρὰν ἐφιλοτιμήσατο φωνὴν καὶ ἑτέρῳ λαλεῖν τὴν αὐτὴν, ὥστε μηδὲν διαλλάττειν ἀλλήλων, λέγω δὴ κατὰ τοῦ φωνῆς λόγου. ἢ κατὰ τὴν φύσιν μὲν οὐ γίνεται τὸ ὅμοιον. κατά τινα δὲ τύχην δύο τὴν αὐτὴν εὑρίσκονται δράσαντες πρᾶξιν· εἰ δὲ μήτε κατὰ φύσιν [ἢ] μήτε κατὰ τύχην, ἀλλ' οὖν μεθόδῳ τινὶ καὶ τοῖς αὐτοῖς ὀργάνοις κεχρημένοι μιμούμεθα ζωγράφον πινάκιον τοιαύτην ἀποτελοῦντα μορφήν. ἀλλ' ὅταν μὲν ἢ φυσικῶς ἢ κατὰ τύχην ἢ κατὰ τέχνην ἀποτελεσθῇ τὸ ὅμοιον, ἐκφεύγει τὰ τοιαῦτα τὸ δυσχερές, ὅταν δὲ προΐῃ τις ἐναλλαγὴ καὶ τὸ κατὰ φύσιν ἀποτελούμενον ἢ κατὰ τύχην δυνηθείημεν τέχνῃ καταλαβεῖν, τότε γίνεται παγχάλεπος ἡ κατάλυσις, καὶ σχεδὸν εἰπεῖν ὑπὸ γνῶσιν πεσεῖν, οἷον καθ' ὑπόθεσιν: ἀφῆκε λίθον τις·

Vers. 10. supra γὰρ asteriscus. — 32. cod. τέχνη καταβαλεῖν.

*) Fol. 17.

οὗτος πεσὼν κατὰ τύχην διαμερισθεὶς πολλὰς ἀπετέλεσε διαμορφώσεις. ἆρα γοῦν εἰ ταύτας τὰς διατυπώσεις ἀπαιτήσοι τὶς τὸν πλαστουργὸν, ἤτοι τὸν Φειδίαν αὐτὸν, ῥᾷστα ποιεῖν ἐκτελέσαι ἐκ τοῦ παραχυχόντος, τίς ἐθελήσοι ζηλοῦν; Οὕτω φασὶν δυσχερὲς τὸ κατὰ φύσιν ἢ κατὰ τύχην γινόμενον τέχνῃ καταλαβεῖν· εἰ δὲ καὶ καταλάβοιμεν, ἀσύμφορος ἡ γνῶσις· ἐπικρατεῖ γὰρ ἡ φύσις ἑκάστων, καὶ τοὺς τῶν ἀρχαίων χαρακτῆρας ζηλοῦν οὐχ οἷόν τε βραζομένου τοῦ χρόνου πῇ μὲν διὰ τὸ νέον τῆς ἡλικίας, πῇ δὲ διὰ τὸ προβεβηκὸς· ἕως οὗ μὲν γὰρ ἐκκαίδεκα χρόνων ὦμεν, καὶ μικρὸν προσμένομεν ἐπὶ τῆς αὐτῆς φύσεως καὶ οὐδεμίαν ἔχομεν ἐπιτηδειότητα πρὸς ζῆλον ἑτέρου χαρακτῆρος· εἰ δὲ πλησιάσομεν τοῖς μ, πάλιν τὸ παλαιὸν τῆς ἡλικίας ἀφαιρεῖται τὴν μίμησιν. ἐν δὲ τῷ μεταξὺ τῶν ἐκκαίδεκα καὶ τῶν μ πρὸς μὲν ζῆλον *) ἔχομεν ἐπιτηδείως, ἀλλὰ πόσας οἴει περιστάσεις εὑρίσκεσθαι ἐμποδιζούσας πρὸς τὴν τοιαύτην ἐγχείρησιν, ὥστε συμβαίνει καὶ τῆς τοιαύτης φύσεως ἐκπίπτειν ἡμᾶς καὶ μήτε τὸν ἀρχαῖον καταλαβεῖν τύπον διὰ τὰς συμβαινούσας ἐν τῷ μεταξὺ περιστάσεις. καὶ ταῦτα μὲν οἱ διαπορήσαντες.

Πρὸς οὕς ἐστιν ἐκεῖνο φάναι. Πάντα τὰ ὄντα ἢ κατὰ θεωρίαν γινώσκομεν ἢ κατὰ πράξιν. τὸν αὐτὸν οὖν τρόπον καὶ τῶν χαρακτήρων. ἀλλ' εἰ μὲν θεωρίᾳ θέλεις τούτους καταλαβεῖν, ἀπηλλάγης τοῦ ἀσυμφόρου καὶ τοῦ δυσχεροῦς, ὥστε δεῖ μόνον τὸ ἀδύνατον ἐπὶ ταύτης ζητεῖν, ὃ γινόμενον καταφανὲς δείξει δηλαδὴ καὶ τῶν περὶ τῆς πράξεως λόγων. φυλαττομένης ἐκεῖ τῆς ζητήσεως τῆς περὶ τοῦ ἀσυμφόρου καὶ χαλεποῦ, μικρὸν οὖν ἀναδράμωμεν ἐπὶ τὴν θεωρίαν. ἐνδείξομεν πρῶτον μὲν κατὰ τὸ πόσον καταληπτοὺς τοὺς χαρακτῆρας εἴ γε καὶ τὴν ἀρχὴν οἱ περὶ Διονύσιον συστείλαντες αὐτοὺς εἰς ὡρισμένον ἀριθμὸν ἀποδεδώκασιν·

Vers. 7. cod. καταλάβομεν — 10. ita margo; cod. ἕω σοῦ — 16. ita margo; codex εἴη — 30 cod. ἐνδείξομεν.

*) Fol. 17. b.

ἐκεῖνο γὰρ κλῆρον τὸ τὴν ἐπίτασιν τοῦ ἰσχνοῦ καὶ τὴν μείωσιν ἀντὶ ἑτέρων λαμβάνειν χαρακτήρων· ὡρισμένος γὰρ ὢν τὴν ἀρχὴν κἂν αὔξησιν δέξηται κἂν μείωσιν οὐδὲν ἧττον ἰσχνός ἐστιν καὶπὶ τῶν λοιπῶν ὡς ὁμοίως. ὄντος δὲ καταληπτοῦ τοῦ ποσοῦ πρόδηλος αὐτῶν καὶ ἡ ἰδιότης τοῖς ἀκριβῶς σκοπουμένοις καὶ μὴ πλανωμένοις περὶ τὰ παρακολουθήματα τῶν χαρακτήρων· οὐ γὰρ τὸν αὐτὸν κἀνταῦθα τρόπον ὥσπερ ἐπὶ τῆς οὐσίας ἕτερον τὸ παρακολουθοῦν καὶ ἕτερον ἡ ὕπαρξις, ὅθεν ἐκεῖ μὲν δυσκαταληπτὸς ἡ ἰδιότης· γνῶναι γὰρ εἰς τὸ ἀκριβὲς τὰς ἐξαλλαγὰς τῶν παρακολουθημάτων ἀδύνατον, ἐπὶ δὲ τοῦ χαρακτῆρος αὐτὸ τὸ παρακολουθοῦν καὶ συστατικόν ἐστιν, ὅθεν καὶ ῥᾷστα καταλαμβάνεσθαι δύναται· ἐπὶ γὰρ τῆς οὐσίας μένει Σωκράτης καὶ ἂν ἀφαιρεθῇ τὸ λευκὸν ἢ τὸ σιμὸν ἢ τὸ μέλαν ἢ ἕτερόν τι τῶν ἰδιωμάτων, ἐπὶ δὲ τῶν χαρακτήρων τὸ παρακολουθοῦν ἐὰν ἀφέλῃς, οἷον τὴν τροπικὴν ἢ τοιάνδε λέξιν, τὸ ὅλον διέφθειρας, ὥστε τὴν μὲν ἰδιότητα τῶν *) ἀτόμων δυσκαταληπτὸν πεποίηκε τὸ ἄλλην μὲν εἶναι τὴν ὕπαρξιν ἄλλα δὲ τὰ παρακολουθήματα, τοὺς δὲ χαρακτῆρας αὐτὰ τὰ ἰδιώματα συνίστησι. κἂν γὰρ τὴν ὕπαρξιν καταλάβοις, ἔγνως τὰ παρακολουθήματα, κἂν τὰ ἰδιώματα μάθοις, ἔγνως τὴν ὕπαρξιν. καὶ ὅτι μὲν δυνατὸν γνῶναι τὰ ἰδιώματα τῶν χαρακτήρων, ἀρκούντως ὡς οἶμαι δεδήλωται, δεῖ δὲ μετελθεῖν ἐπὶ τὸ τρίτον ἀπόρημα.

Τί δὲ τοῦτο ἦν; οὐχ οἷόν τε φασὶ ζηλῶσαι τοὺς τῶν ἀρχαίων τύπους· καταφερομένη γὰρ ἡ φύσις πρὸς τὴν οἰκείαν διάθεσιν μεταβάλλει πρὸς τὴν ἑαύτης ἰδιότητα τὴν πᾶσαν τοῦ λόγου διοίκησιν, καὶ τοῦτο μὲν ἐγγὺς ἀληθείας, ζηλῶσαι δὲ εἰς τὸ ἀκριβὲς τὸν χαρακτῆρα τὸν Δημοσθενικὸν ἢ Πλατωνικὸν ἀδύνατον· πλὴν εἰ μὴ καὶ τελέως, ἀλλ' οὖν ἔσται τοῖς πονοῦσιν ἐκ μέρους καταληπτόν· ἀγαπητὸν γὰρ καὶ τῶν ἄλλων ἐγγὺς ἐλ-

---

Vers. 1. cod. supra κλῆρον mendi signum. · . — 4. ὡς altera man. delctum. — 29. cod. ἑαυ, fort. αὐτοῦ.

*) Fol. 18. a.

θεῖν, μήτι γε Δημοσθένους ἢ Πλάτωνος. μὴ οὖν ἀπέχου τῶν λόγων, διότι μὴ δυνατὸς εἶ Δημοσθένης ἡμῖν ἐκ τοῦ παράχρημα γενέσθαι, ἀλλὰ σπούδασον καὶ πρὸς τοὺς ἄλλους ῥήτορας ἀφορᾷν οἳ τὴν ἀρχὴν ἐσιώπων ἄν, εἰ νενικήκει καὶ παρ' αὐτοῖς τὸ θέλειν κατὰ μηδὲν διαλλάττοντας τοῦ Δημοσθενικοῦ τύπου τοὺς ἑαυτῶν φαίνεσθαι λόγους. περὶ δὲ ἀσυμφόρου καὶ χαλεποῦ καὶ περὶ τῶν λοιπῶν ζητεῖν, μάλιστα δὲ περὶ τοῦ δυσχεροῦς, περιττόν· φιληδόνων γάρ ἐστι τὸ λέγειν μὴ ῥαδίως καταλαμβάνεσθαι τὰ καλά· δυσκαταληπτὰ γὰρ ταῦτα καὶ πέφυκε μετὰ τῶν λοιπῶν τοῖς ἀνθρώποις περιγίνεσθαι πόνων. ὅτι δὲ καὶ μετὰ τὴν γνῶσιν οὐκ ἔστιν ἀσύμφορον, δῆλον ἐντεῦθεν. δυνατὸν γὰρ κατὰ ταυτὸν καὶ τὴν οἰκείαν φύσιν φυλάξαι καὶ ζηλῶσαι τύπον ἀρχαῖον· ὁ γὰρ περὶ τὸν ἰσχνὸν ἐπιτηδείως ἔχων κἂν τούτῳ δὲ ὄντως ἐγγυμνασθεὶς ἅμα καὶ τὴν οἰκείαν φύσιν ἐῤῥωμένην φυλάττει καὶ τὸν Λυσιακὸν ζηλοῖ χαρακτῆρα κἀπὶ τῶν λοιπῶν ὡς ὁμοίως. ἔνθα ἂν ἕκαστος ἐπιῤῥέπεστέραν ἴδῃ τὴν ἑαυτοῦ φύσιν, περὶ τοῦτο μάλιστα γυμναζόμενος εἰς ἀρχαῖον πάντως κατενεχθήσεται τύπον καὶ *) τῆς οἰκείας οὐκ ἐκπεσεῖται δεξιότητος.

Τούτων δὲ σαφῶς ἀποδειχθέντων καὶ ὡρισμένου μὲν ὄντος τοῦ πόσου, καταλειφθείσης δὲ τῆς ἰδιότητος, ἀκριβῶς καὶ τῆς μιμήσεως κατὰ τὸ ἐγχωροῦν δεῖ τοῦ παραδείγματος ἔχεσθαι καὶ καθ' ὁδὸν τούτου προβαίνειν. συντελεῖ μὲν γὰρ ἡμῖν πολλαχῇ διὰ τὴν πρὸς τοὺς χαρακτῆρας ὁμοιότητα τὸν γὰρ αὐτὸν τρόπον ὥσπερ κἀπὶ τῶν ἐμψύχων σωμάτων τὴν μὲν συστατικὴν ὕλην αὐτῶν καὶ κατὰ μέρος καταλαβεῖν οἷόν τέ ἐστιν, τὴν δὲ μίξιν καὶ τὴν τοιάνδε κράσιν, ἀδύνατον λόγῳ διεξελθεῖν· ὅτι μὲν γὰρ ἐκ δ στοιχείων σύγκειται ἄνθρωπος, πᾶσι καταφανές, τί δὲ τὸ αἴτιον τὸ ἀποτελεσματικὸν τοῦ τοιοῦδε χρήματος ὃ καὶ διαφόρους ἐποίησε τοὺς χαρακτῆρας, ἀπαγγέλλειν ἀδύνατον, καὶ ὅλως

Vers. 19. cod. ἴδοι.

*) Fol. 18. b.

τὸ τέλεον αἰσθήσει καὶ μόνῃ διαγινώσκεται· οὐ γὰρ ἄν δυνηθείη τις λόγος παραστῆσαι τὸ ὅλον ὡς ὅλον, πλὴν εἰ μὴ συμβολικῶς. ἡ δὲ τοιαύτη γνῶσις οὐ καθάπτεται τῶν παρακολουθημάτων, μήτι γε δὴ τῆς ὑποκειμένης οὐσίας, ἀλλ' ἔξωθεν ἐπικειμένην σημαίνειν μόλις οἷά τέ ἐστιν ὅταν ᾖ τὸ πρόσωπον ὁμολογούμενον· εἰ δὲ ἢ τὴν ἀρχὴν ἀγνοούμενον, οὐ δύναται παριστάν ἅτε μὴ καθαπτομένη τῆς οὐσίας, μηδὲ τῶν ἐπισυμβεβηκότων αὐτῇ, οἷον τὸ ἐπικείμενον ἑκάστῳ ὄνομα συμβολικόν ἐστιν, ὃ τότε μόνον ἰσχύει πρὸς δήλωσιν ὅταν μὴ ᾖ τὸ πρόσωπον ἀνοούμενον. εἰ δὲ τὰς ἐξαλλαγὰς τῶν ἀτόμων καὶ τὴν ἀποτελουμένην ἐκ τῶν κατὰ μέρος μορφὴν αἰσθήσει καὶ μόνῃ καταλαμβάνομεν, ἄδηλος ἄρα καὶ τῶν χαρακτήρων ἡ μίξις. καὶ ὅτι μὲν ἐκ τῆς τοιάσδε λέξεως ἡ ἐννοία ὁ Δημοσθενικὸς ἀπαρτίζεται λόγος καὶ δυσχερὲς διαγνῶναι, τὸ δὲ ὅλον καὶ τὴν ἀποτελεσθεῖσαν ἐκ τῶν κατὰ μέρος μίξιν λύγῳ παραστῆσαι παγχάλεπον· ὅπερ γὰρ ὁ ζωγράφος τὰ μὲν συντελοῦντα πρὸς τὴν μίξιν χρώματα τῷ μανθάνοντι παραδίδωσι, μετὰ δὲ τὸ πινάκιον καὶ τὴν γραφὴν ἀπορεῖ παραστῆσαι τὸν λόγον δι' ὃν ἡ τοιάδε συνεκεράσθη μορφή, τὸν αὐτὸν τρόπον καὶ τὰ ποιοῦντα τὰς ἰδέας πρόδηλα, τὸ δὲ ἀποτελούμενον ἀπαγγέλλειν οὐχ οἷόν τε, πλὴν εἴ μὴ βούλοιτό τις κατὰ συμβολικὸν τρόπον ὃς *) οὐδὲν δύναται τῶν συνθετικῶν ἢ παρακολουθούντων ἐμφαίνειν, εἰ δὲ τὸ ποιούμενον καθὰ δεδηλώκαμεν ἅτε τέλειον ἐξειπεῖν οὐχ οἷόν τε λύγῳ, πολλῷ μᾶλλον ὀνόματι· τεχνίτου γὰρ ἀνδρὸς καὶ μάλα σοφοῦ μὴ συμβολικὰς τιθέναι τὰς ὀνομασίας, ἀλλὰ τῶν ὑποκειμένων ἐμφαντικὰς, ὃ ποιεῖ μὲν ὁ τεχνικὸς σπεύδων, ἀπορῶν δὲ διὰ τὴν προλεχθεῖσαν αἰτίαν ἐπὶ τὴν ὁμοιότητα τῶν παραδειγμάτων ἀνέδραμε καὶ ἦν ἐπὶ τῶν ἀτόμων ὀνομασίαν ἡ αἴσθησις ἐξ αὐτῆς τῆς ὄψεως ἔλαβε, ταύτην ἐπὶ τὸν τέλειον λόγον μετενεγκὼν μεταφορικῶς ἰδέαν ὠνόμασεν ὥσπερ καὶ αὐτοὺς τοὺς

Vers. 5. ita margo; cod. ἐπικειμένην μὲν οἷα. — 18. fort. ὅπερ vel ὥσπερ.

*) Fol. 19. a.

λόγους ὑποβαλλομένους τῇ ὁρατικῇ αἰσθήσει καθὰ καὶ τὰς τῶν ἀτόμων μορφάς· ἐντεῦθεν γὰρ ὁρμώμενοι καὶ ἄδρους ἐκάλεσαν οἱ παλαιοὶ χαρακτῆρας καὶ ἰσχνοὺς καὶ ἀνθηροὺς καὶ ὅσας σχεδὸν ἐπὶ τῶν σωμάτων διατυπώσεις ἐθεάσαντο, τοσαύτας ἐπὶ τοὺς χαρακτῆρας μετήνεγκαν. ἀλλὰ περὶ μὲν τούτων ἅλις. ἀψώμεθα δὲ τῆς ὑποκειμένης πραγματείας μικρὰ πρότερον διαλεχθέντες περὶ τῆς τοῦ βιβλίου θεωρίας δεῖ γὰρ ἐνταῦθα ζητεῖν ἃ πολυπραγμονεῖν ἔθος ἐπὶ παντὸς βιβλίου, μάλιστα τεχνικοῦ· σκοπός, χρήσιμον, τίς ἡ ἐπιγραφή, εἰ γνήσιον τοῦ ἀρχαίου τὸ βιβλίον· τίς ἡ τάξις τῆς ἀναγνώσεως, ἢ εἰς τὰ μέρη τομή· ζητεῖν οὖν ὑπερθέμενοι περὶ τοῦ σκοποῦ τοῖς ἐνισταμένοις πρὸς τὴν ἐπιγραφὴν ἀπαντήσωμεν. λέγουσι γὰρ ἠγνοηκέναι τὸν τεχνικὸν τὴν σημασίαν τοῦ ὀνόματος. οἱ γὰρ φιλόσοφοι βούλονται τὴν ἰδέαν γενικωτέραν εἶναι καὶ περιεκτικὴν τῶν ἀτόμων καὶ οὐ κατὰ τοῦτο φησὶν μόνον διήμαρτεν, ἀλλ' ἤδη που καὶ τὴν ἰδίαν ἀνατρέπει δόξαν αὐτὸς ἑαυτῷ μαχόμενος· εἰ γὰρ τὸ ὅλον ὡς τέλειον ὑπὸ διδασκαλίαν πεσεῖν οὐ δύναται, πῶς αὐτὸς ἅτε περὶ τελείων διαλαμβάνων οὕτως ἐποιήσατο τοῦ βιβλίου τὴν ἐπιγραφήν; πρῶτον μὲν οὖν εὐθύνειν τὸν τεχνικὸν ὅτι μὴ κατὰ τοὺς φιλοσόφους ἔλαβε τὴν σημασίαν περὶ πολλῶν χαρακτήρων διαλεγόμενος, πλὴν ἵνα τι καὶ συγχωρήσωμεν, οὐδὲν ἧττον καὶ αὕτη περιεκτική ἐστι· καθ' ὃν γὰρ κατὰ τοὺς φιλοσόφους λόγους τὸ εἶδος περιέχει *) τὰ ἄτομα, κατὰ τὸν αὐτὸν καὶ ἡ σεμνόθης τὴν Δημοσθενικὴν καὶ τὴν Ἀντιφωντείαν, εἰ τύχοι καὶ τὰς λοιπάς· ἀλλὰ τοῦτο μὲν αὐτόθεν προφαινομένην ἔχει τὴν λύσιν, τὸ δὲ διαπορηθὲν ἐφεξῆς τῶν πάνυ ζητουμένων ἐστίν: τί δήποτε τὴν προσήκουσαν ἀφεὶς ἐπιγραφὴν τὴν κατηγορουμένην ἐπὶ τοῖς ὅλοις ἔλαβε διαῤῥήδην τῷ λόγῳ προλεχθέντι μαχόμενος. καὶ ὅτι μὲν πρὸς τὴν ὑποκειμένην τῷ βιβλίῳ διδασκαλίαν τὴν ἐπιγραφὴν ἔδει ποιήσασθαι, συνωμολογήσαμεν ἄν, εἰ σκο-

Vers. 27. ita codex.

*) Fol. 19. b.

πὸς ἦν αὐτῷ περὶ τῶν ποιούντων διαλαβεῖν καὶ μὴ περὶ τῶν ἀποτελουμένων ἐκ τῆς μίξεως. ἀλλ' ἐπεὶ νῦν ἡ τοῦ τεχνικοῦ προαίρεσις ἐπὶ τὰ ὅλα νένευκε καὶ περὶ τῶν ποιουμένων κατάληψιν, δεῖ πρὸς ταύτην μᾶλλον καὶ μὴ πρὸς τὸ κατεπεῖγον ὁρᾶν. εἰ γὰρ καὶ τὰ ἀποτελούμενα κατὰ περίστασιν ἀφῆκε πλὴν οὐκ ἐξέστη τοῦ σκοποῦ κἂν ἐπὶ τὰ κατὰ μέρος ἐτράπη. καίτοι φασὶν κατά γε τὴν τοῦ τεχνικοῦ προαίρεσιν ἐχρῆν τὴν ἐπιγραφὴν εἶναι περὶ χαρακτήρων. αὐτὸς γὰρ ἐν ἀρχῇ τῆς πραγματείας ὑποτίθεται τοὺς ἐπιστήμονας ταύτης δύνασθαι λόγων ἐργάτας εἶναι καὶ τὰ τῶν ἄλλων κρίνειν καθ' ὅτι καλῶς ἂν ἔχοι καὶ ἀκριβῶς καὶ καθότι μὴ ποιοῦμεν δηλαδὴ τοὺς χαρακτῆρας καὶ κρίνομεν· ὥσπερ γὰρ τῶν σωμάτων τὰ μέν ἐστιν ἀῤῥενωπὰ, τὰ δὲ μαλθακὰ, τὰ δὲ μέσα τὸν αὐτὸν τρόπον κἀπὶ τῶν χαρακτήρων εὑρήσομεν. τοὺς μὲν οὖν αὐτῶν ἀνθηροὺς εἰ τύχοι, τοὺς δὲ μέσους, τοὺς δὲ τραχεῖς καὶ αὐστηρούς· εἰ δὲ περὶ τούτων καὶ τῇ προθεωρίᾳ διδάσκειν ἐπαγγέλλεται, τί δήποτε μὴ κατὰ τὴν προαίρεσιν τὴν οἰκείαν ἐποιήσατο τοῦ βιβλίου ἐπιγραφὴν σφόδρα θαυμασίως; ἅτε γενικωτέρους αὐτοὺς ὄντας καὶ μὴ δυναμένους ἐκ τῶν ποιούντων καταληφθῆναι παρῆκεν. ὥσπερ γὰρ ἡ ἰδέα περιεκτικὴ τῆς ἐννοίας ἐστὶν καὶ τῆς μεθόδου καὶ τῆς λέξεως καὶ τῶν ἄλλων ἁπάντων ὑφ' ὧν καὶ ἀποτελεῖται, τὸν αὐτὸν τρόπον καὶ οἱ χαρακτῆρες περιέχουσι τὰς ἰδέας ἀφ' ὧν τὴν σύστασιν ἔχουσιν. ἀλλὰ τὰ μὲν ποιοῦντα τὴν ἰδέαν ἅτε μερικὴν καὶ ὑπὸ διδασκαλίαν πίπτει καὶ λόγῳ καταλαμβάνεται· τὰ δέ γε ἀποτελοῦντα τοὺς χαρακτῆρας *) ἐκφεύγει τὴν ἀπὸ τοῦ λόγου γνῶσιν ὡς τέλεια καὶ περιέχοντα τὴν ἔννοιαν καὶ τὴν μέθοδον καὶ τὰ περὶ τὴν λέξιν· εἰ δὲ τὰ ποιοῦντα τοὺς χαρακτῆρας ὡς ὅλα καθὰ μεμαθήκαμεν οὐ καταλαμβάνεται λόγῳ, τὰ δὲ ἀποτελοῦντα τὰς ἰδέας ὑπὸ διδασκαλίαν καὶ γνῶσιν πίπτει, προσηκόντως ὁ τεχνικὸς ἐκείνην μὲν ἀπεκρούσατο τὴν ἐπιγραφὴν. ἧς

Vers. 3. sic margo; codex *γένανε*.

*) Fol. 20. a.

καὶ τὸ ποιοῦν ἄδηλον καὶ τὸ ποιούμενον, ταύτην δὲ προείλετο μᾶλλον ἧς τὸ ἀποτελοῦν τὴν ἰδέαν καταληπτόν· εἰ γὰρ ἐπέγραψε περὶ χαρακτήρων, αὐτοὺς μὲν λόγῳ παραστῆσαι τὴν ἀρχὴν ὡς ὁλικωτέρους· οὐχ οἷόν τε ἦν, ἀλλ' ἴσως ἐκ τῶν ποιούντων δυνατὸν ἦν αὐτοὺς διαγνῶναι. καὶ μὴν κἀκεῖνα πάλιν καταληπτὰ καθὸ τέλεια καὶ περιεκτικὰ λέξεως καὶ ἐννοίας, νῦν δὲ μέσην βαδίσας ὁδὸν ἀφῆκε μὲν τὰ γενικώτερα, λέγω δὴ τοὺς χαρακτῆρας, οὗτοι γὰρ ἀκαταληπτοὶ κἂν τὰ ποιοῦντα λάβῃς, ἐπέγραψε δὲ περὶ ἰδεῶν ἃ τὴν ἀρχὴν ἐκ τῶν ἀποτελούντων γνωρίζεται. τίς δὲ ἡ τάξις τῆς ἀναγνώσεως καὶ εἰ γνήσιον τοῦ ἀρχαίου τὸ βιβλίον, ἐν μὲν τῷ περὶ στάσεων λεκτέον λόγῳ, πλὴν οὐδὲν κωλύει καὶ νῦν διὰ βραχέων εἰπεῖν. ὅτι μὲν γὰρ γνήσιον πάντες συνομολογοῦσι· τὸ γὰρ ἀκριβὲς καὶ ἡ εὐκρίνεια καὶ ἡ λέξις βοῶσιν ὡς εἰπεῖν Ἑρμογένους εἶναι τὸ σύνταγμα, πλὴν καὶ αὐτὸς ἐν τῷ περὶ στάσεων μέμνηται ταύτης τῆς πραγματείας καθὰ κἀκεῖσε δεδηλώκαμεν. ἡ δὲ τάξις τῆς ἀναγνώσεως ὁμοίως καταφανής· ἡγουμένων γὰρ τῶν πραγμάτων δεῖ τηνικαῦτα καὶ τὸν περὶ τούτων ἕπεσθαι λόγον. δύο δέ εἰσι τὰ συνιστῶντα τὸν λόγον, δύναμις καὶ ἡδονή. καὶ ἡ μὲν δύναμις ἐν τοῖς κεφαλαίοις καὶ τοῖς ἐνθυμήμασιν ἀναφαίνεται, ἡ δ' ἡδονὴ διὰ τῆς φράσεως λαμβάνει τὴν ἰσχύν· τὰ γὰρ σχήματα καὶ τὰ εἴδη καὶ ὅσα ἕτερα τῆς ἡδονῆς ἐστὶ παρεκτικὰ ἐξ ἧς ἂν εἴη μαθεῖν τὴν εἰς τὰ μέρη τομήν, ἣ καὶ τοῦτο περίεργον· αὐτὸς γὰρ ἡμᾶς ὁ τεχνικὸς παρακατιὼν διδάξει πλὴν ἀμυδρῶς κἀπὶ τοῦ παρόντος λελέξεται· τάχα γὰρ ἡμῖν συντελέσει πρὸς ἀκριβεστέραν τῆς ἐπιγραφῆς κατάληψιν. τέτμηται τοίνυν τὸ βιβλίον εἰς τὰ ποιοῦντα τοὺς χαρακτῆρας, λέγω δὴ τὰς ἰδέας, καὶ εἰς αὐτὸ τὸ ποιούμενον ὃ παραδίδωσι *) καὶ ὡς ἐν γένει καὶ κατ' ἄνδρα. σπουδὴ γὰρ αὐτὸ μὴ μόνον παραστῆσαι τὴν Πλατωνικὴν ἰδέαν ἢ τὴν Δημοσθενικὴν ἀλλὰ πρῶτον διδάξαι τί σεμνότης, τί καθαρότης καὶ τελευταῖον μετὰ τὴν τοιαύτην διδασκαλίαν ἐπὶ τοὺς χαρακτῆρας τῶν

*) Fol. 20. b.

ἀρχαίων ἐλθεῖν, ἀλλὰ λελήθαμεν ἑαυτῆς ὡς φασί τινες τὸν περὶ τῆς ἐπιγραφῆς ἐμβάλλοντες λόγον· ὑπεθέμεθα γὰρ ἐπὶ τοῦ παρόντος καὶ τοὺς χαρακτῆρας ὑπὸ διδασκαλίαν πεσεῖν ὅπερ ἐν τοῖς φθάσασιν ἀπηγορεύσαμεν· εἰ δυνατὸν ὅλως αὐτὴν λόγῳ καταλαβεῖν, τί δήποτε μὴ περὶ χαρακτήρων ἐπέγραψεν, ἀλλ' οὐδὲν ἧττον ὃ προλεχθεὶς ἔρρωται λόγος· οὐ γὰρ ἐπαγγέλλεται διδάσκειν τί τὸ ὅλον, ἀλλὰ τί τὸ ποιοῦν· τότε γὰρ ἂν ἐδόκει μάχεσθαι τοῖς προλαβοῦσιν, εἰ μετὰ τὴν συνέλευσιν τῶν ἰδεῶν ἐπεχείρει καὶ τῶν χαρακτήρων ἀπαγγεῖλαι τὰς μίξεις. νῦν δὲ πρότερον μὲν καθ' ἑαυτὰς παραδίδωσι τὰς ἰδέας οἷον τί σεμνότης ἢ τί καθαρότης, εἶτα τί τὸ ἀποτελούμενον ἐκ τῆς μίξεως ὃ λόγῳ σαφηνίζειν οὐχ οἷόντε πλὴν εἰ μὴ συμβολικῶς· οὕτως οὐδένα τοῦ ὅλου ποιεῖται λόγον, ἀλλὰ τί ποιοῦντα τὸ ὅλον καθ' ἑαυτὸν πρότερον παραστήσας καὶ μετὰ τὴν συνέλευσιν ὁποῖον ἀπαρτίζει χαρακτῆρα διδάσκει, πῶς δὲ καταλάβοις αὐτὸν οὐ παραδίδωσι λόγῳ.

ΠΡΟΛΕΓΟΜΕΝΑ ΤΩΝ ΣΤΑΣΕΩΝ.

Πολλοὶ πολλὰς τοῦ παρόντος βιβλίου τὰς ἀρχὰς ἐποιήσαντο· οἱ μὲν γὰρ ἀπὸ τοῦ γένους τοῦ τεχνικοῦ τῆς ἐξηγήσεως ἄρχονται, οἱ δὲ ἀπὸ τῆς τέχνης, ἄλλοι δὲ ἀπὸ τῆς στάσεως, ἡμεῖς δὲ ταῦτα ἐν δευτέρῳ λέξομεν, τέως δὲ ἀναδραμούμεθα καὶ τῶν λόγων τὰ εἴδη περιλαβόντες ἐροῦμεν. καὶ γὰρ ἄτοπον ἑνὸς εἴδους τῶν λόγων προκειμένου πρὸς ζήτησιν ἀγνοεῖν τὴν ἀρχὴν τί ἐστι λόγος. ὁ λόγος τοίνυν ἐστὶ διττὸς, ὁ μὲν ἐνδιάθετος, ὁ δὲ προφορικὸς· περὶ γὰρ τῶν καθόλου οὐδεὶς λόγος, ἀπέραντος γὰρ καὶ διὰ τοῦτο ἀκατάληπτος. ἀλλ' ἐπειδὴ οἱ φιλόσοφοι ἑκάστου πράγματος ὅρους, ἤγουν ὑπογραφὰς λαμβάνουσιν, ὁρίσωμεν τούτων ἑκάτερον.

Λόγος τοίνυν ἐστὶν ἐνδιάθετος διάνοια ἀνθρώπου ἐν τῷ διαλογίζεσθαι τί πράττειν ἢ λέγειν δεῖ. ἐπειδὴ οὖν δεῖ τοὺς ὅρους ἀπὸ γένους καὶ διαφορῶν συνίστασθαι, ἔχει διάνοιαν μὲν τὸ γένος· καὶ γὰρ τὸ θεῖον καὶ οἱ ἄγγελοι διανοοῦνται καὶ τὰ ἄλλα ζῶα. τῷ δ' εἰπεῖν ἀνθρώπου καὶ τί λέγειν ἢ πράττειν δεῖ τὸ ἴδιον περιείληφε καὶ μὴ θαυμάσῃς εἴπερ ἔστιν ἐνδιάθετος λόγος. αὐτίκα γοῦν πολλοὶ τετμημένοι τὴν γλῶτταν ἢ ὑπὸ νοσημάτων ἐμποδιζόμενοι οὐδὲν ἧττον εἰσὶ λογικοί· ἀμέλει καὶ Πυθαγόρας ὁ φιλόσοφος δέκα ἔτη σιγήσας πολλὰ ἐποίησε συγγράμματα καὶ ἦν ἢ τῶν δογμάτων ἢ τῶν μαθητῶν σιωπή· ἆρα γοῦν ὁ Πυθαγόρας ἢ οἱ μαθηταὶ οὐκ ἦσαν λογι-

---

Vers. 1. Codex Monac. Nro. VIII. fol. 128. a.; e prioribus excerpta leguntur etiam in scholiis in Aphthonium fol. 115. a. — 12. excerpt. τοῦ καθόλου. — 15. exc. ὁρισώμεθα. — 19. exc. ἔχει καὶ οὕτω. γενόμενος μὲν τὴν διάνοιαν καὶ γ ὲ ρ.

κοί; ναί. καὶ ὁ Θουκυδίδης ἐπαινῶν τὸν Περικλέα καὶ τούτοις αὐτὸν τοῖς β ἐκόσμησε: καίτοι ἐμοὶ τοιούτῳ ἀνδρὶ ὀργίζεσθαι ὃς οὐδενὸς ἐλάσσων εἰμὶ γνῶναί τε τὰ δέοντα καὶ ἑρμηνεῦσαι περὶ αὐτῶν. τὸ γὰρ τὰ δέοντα γνῶναι οὐδὲν ἕτερόν ἐστιν ἢ ἐνδιάθετος λόγος. καὶ ὁ μὲν ἐνδιάθετος λόγος οὕτως. ὁ δὲ προφορικὸς οὕτως ὁρίζεται: δήλωσις ἀνθρώπου διανοίας διὰ φωνῆς. πάλιν τὸ δήλωσις κοινὸν πρὸς ἅπαντας, τὸ δὲ ἀνθρώπου ἴδιον, τὸ δὲ διὰ φωνῆς πρὸς ἀντιδιαστολὴν τοῦ ἐνδιαθέτου. εἶτ' ἐπειδὴ κοινὸς ὁ λόγος, ὁ μὲν προφορικὸς ἁπάντων, ὁ δὲ διὰ μελέτης καὶ γνώσεως τεχνικὸς, ἡνίκα βουλόμεθα μεταστῆσαι ἀπὸ τοῦ κοινοῦ καὶ δηλωτικοῦ τὸν διὰ σκέψεως, λέγομεν μετὰ προσδιορισμοῦ τοῦ ἔντεχνος: δήλωσις ἀνθρώπου διανοίας διὰ φωνῆς ἔντεχνος. τοῦτον οὖν τὸν λόγον ὑποδιαιρεῖν μὲν εἰς δύο, εἰς θεωρητικὸν καὶ πρακτικόν. ὅρος δὲ τοῦ θεωρητικοῦ οὗτος: λόγος ἐπισκεπτικὸς πράγματος μετ' αἰτίας. ὁ δὲ τοῦ πρακτικοῦ οὗτος: λόγος ἐπὶ πράξει διαδεχομένη λεγόμενος. ἀνθυποδιαιρεῖται δὲ ὁ θεωρητικὸς εἰς τρία, εἰς θέσιν, εἰς ἐγκώμιον καὶ ψόγον. θέσις μὲν οὖν ἐστι διάσκεψις λογικὴ τέλος ἔχουσα τὴν θεωρίαν· ἐγκώμιον δὲ ὁμολογουμένων ἀγαθῶν αὔξησις. ψόγος δὲ ὁμολογουμένων κακῶν αὔξησις. ἐπικοινωνοῦσι δὲ ἐν τούτοις φιλόσοφοί τε καὶ ῥήτορες. λέγεται δὲ θεωρητικὸς ἐπειδὴ μεχρὶ γνώσεως ἔστηκεν, οἷον φιλόσοφος ζητεῖ εἰ τὸ ἡμισφαίριον ὑπὸ γῆν, εἰ κυκλοτερὴς ὁ οὐρανός· καὶ τοῦτο καταλαβὼν οὐδὲν πλέον περιεργάζεται· ὑποτίθησι γὰρ ἔργον τούτοις οὐδέν· οὕτω καὶ ἐν τῷ ἐγκωμίῳ καὶ ψόγῳ, καὶ ὁ μὲν θεωρητικὸς οὗτος, ὁ δὲ πρακτικὸς εἰς δύο διαιρεῖται, εἰς συμβουλευτικὸν καὶ δικανικόν. ὁρίζονται οὖν τὸν μὲν συμβουλευτικὸν: λόγος προτρεπτικὸς κέρδους

Vers. 1. Thuc. II, 60. — 8. margo et hic et infra: διὰ φωνῆς ἀνάρθρου. — 10. margo: τοῦ ἐνδιαθέτου ἢ πρὸς ἀντιδιαστολὴν τοῦ ἀνάρθρου. — 12. exc. τεχνικῆς. — 22. διάσκεψις sic margo et exc.; codex: διάθεσις, — 31. ita exc.; πραγματικος codex

δους ἕνεκα ἢ ἀσφαλείας, τὸν δὲ δικανικόν: ζήτησις πολιτικὴ τέλος ἔχουσα τὴν τιμωρίαν. ἐν γὰρ τοῖς δυσὶ τούτοις ἀνάγκη πάντων *) ἔπεσθαι τέλος· οὐ γὰρ ἀρκεῖ τὸν ῥήτορα συμβουλεῦσαι ὡς δεῖ βοηθεῖν Ὀλυνθίοις, ἀλλὰ δὴ καὶ τὴν πρᾶξιν ἐπακολουθῆσαι. πάλιν οὐκ ἀρκεῖ κατηγορῆσαι Αἰσχίνου ἢ τοῦ Πολυκράτους προδοσίας, ἀλλὰ χρὴ τὴν προδοσίαν παρέπεσθαι. καὶ ταῦτα μὲν οὕτως.

Τὸν δὲ δὴ λόγον διεῖλον οἱ μὲν Περιπατητικοὶ εἰς ε, εἰς εὐκτικὸν, οἷον

πότνι' Ἀθηναίη ἐρυσίπτολι, δῖα θεάων.

προστακτικὸν

βάσκ' ἴθι, Ἶρι ταχεῖα.

ἐρωτηματικὸν

οὐχ ὁ Τρόφιμός σου, πρὸς θεῶν, Ὀνήσιμε;

καὶ τὰ λοιπά. ἀποφαντικὸν

ἰλιόθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσε.

κλητικὸν

δεῦρο πάροιθ' ἰλθοῦσα φίλον τέκος ἵζεν ἐμεῖο.

οἱ δὲ Στωικοὶ προστιθέασι τούτοις καὶ ἄλλους σι, πνευματικὸν καὶ ἐπαπορητικόν: πνευματικὸν

πῶς δεῦρ' ἦλθες Ὀδυσσεῦ, τίς δέ σε δαίμων.

καὶ λοιπὸν ἄρχεται διηγεῖσθαι τὰ συμβάντα· ἐπαπορητικὸν δὲ οἷον

Δαὸς πόθ' ἦλθε· τί ποτε ἀγγέλων ἄρα;

εἶτα θαυμαστικὸν ὡς καλὸς ὁ παρθενών. ἐπρωτικὸν

ναὶ μὰ τόδε σκῆπτρον.

διασαφητικὸν

ἴομεν ὡς ἐκέλευες ἀνὰ δρυμόν.

Vers. 11. cod. ἐρσίπολι. Il. ζ, 305. — 13. Il, ϑ, 399. — 18. Od. ι, 59. — 21. Il. γ, 162. — 25. Od. κ, 64. — 29. ita et exc. nisi quod initio recte ποτ' fort. Δαὸς πρὶ' ἦλθε, τίνα ποτ' ἀγγέλλων ἄρα; — 31. Il. α, 234. — 33. Od. κ, 251.

*) Fol. 129. a.

ὑποθετικὸν ὡς παρὰ Δημοσθένει· εἰ γὰρ ἡμᾶς αὐτοὺς δεήσει τριάκοντα μόνον ἡμερῶν καὶ τὰ λοιπά. καὶ τούτων μὲν οἱ Περιπατητικοὶ τὸν πυσματικὸν καὶ τὸν ἐπαπορητικὸν ἐπὶ τὸν ἐρωτηματικὸν λόγον ἀνάγουσι πλὴν ὅτι κατὰ τοῦτο διαφέρειν ἀλλήλων, ὅτι ὁ μὲν ἐρωτηματικὸς διὰ βραχέων ἔχει τὴν ἀπόδοσιν, ὁ δὲ πυσματικὸς διὰ μακροτέρων. καὶ οὕτως μὲν πρὸς ἄλλον γίγνοιτ' ἄν, ὁ δὲ ἐπαπορητικὸς πρὸς αὐτὸν τὸν ἀπορούντα καθ' ἑαυτὸν συνίσταται, τοὺς δὲ ἄλλους ἐπὶ τὸν ἀποφαντικὸν ἀνάγουσιν, καθὸ ἐνδέχεται καὶ ψεύδη εἶναι καὶ ἀληθῆ. οὐδὲν δὲ ἕτερόν ἐστιν ἀποφαντικὸς ἢ λόγος ἐνδεχόμενος καὶ ψεύδης εἶναι καὶ ἀληθής. ἀλλὰ τὸν μὲν ἐνδιάθετον λόγον ἄλλοι τε κοσμοῦσι καὶ Ἀολλιανὸς καὶ Θεόφραστος, τοῦτον δὲ τὸν προφορικὸν λόγον δύο τέχναι διείλοντο ἥ τε γραμματικὴ καὶ ῥητορική. ἀλλὰ περὶ μὲν τοὺς γραμματικοὺς τοῖς ταύτην ἀκριβῶς ἐπισταμένοις καταλείψομεν· περὶ δὲ τῆς ῥητορικῆς ὅπως ἐστίν, ἐξ ἀρχῆς προῆλθε καὶ τίς ἂν εἴη σκεψώμεθα. Ἡ τοίνυν ῥητορικὴ ἵνα τι καὶ τῶν ἐγνωσμένων εἴπωμεν ἐν θεοῖς μὲν ἦν, εἶτ' ἐνταῦθα εἰς ἀνθρώπους *) ἀφίκετο, καὶ μαρτυρεῖ Ὅμηρος λέγων·

οἱ δὲ θεοὶ παρὰ Ζηνὶ καθήμενοι ἠγορόωντο.

ταῦτα δὲ οἱ λέγοντες τὴν τέχνην σεμνύνουσι, τὸ δὲ ἀληθὲς ἐν τοῖς ἥρωσι πρῶτον ἐφάνη, ὅθεν καὶ ἥρωες ἐκλήθησαν παρὰ τὸ ἐρεῖν καὶ λέγειν. τοῦτο δὲ κατάδηλον ἐποίησεν Ὅμηρος· εὑρίσκομεν γὰρ παρ' αὐτῷ καὶ συμβουλευτικὸν εἶδος, ὥσπερ διὰ τοῦ Νέστορος

τῶν καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή·

καὶ δικανικὸν

καὶ ἔπεα νιφάδεσσιν ἐοικότα·

δεῖ γὰρ τὸν μὲν σύμβουλον εἶναι γλυκὺν καὶ τοῖς

Vers. 1. Demosth. pag. 16. fine. — 16. id est τῆς γραμματικῆς. — 23. Il. δ, 1. — 29. Il. α, 249. — 32. Il. γ, 222.

*) Fol. 129. b.

ἀκροωμένοις ἀρέσκοντα, τὸν δὲ δικανικὸν μᾶλλον ῥώμῃ καὶ διανοίαις ἀκμάζειν ὅθεν ἑκατέρῳ τὸ προσῆκον ἀπένειμε. καὶ ὅτι Ὅμηρος τὰ σπέρματα τῆς τέχνης κατέβαλεν ἐδήλωσε Τήλεφος ὁ Περγαμηνὸς ὅστις τέχνην συγγραψάμενος ἐπέγραψε περὶ τῆς καθ' Ὅμηρον ῥητορικῆς κἀκεῖ περὶ τῶν ιγ συνεγράψατο στάσεων. Λέγουσι δέ τινες δικανικὸν λόγον εἰρηκέναι πρῶτον Μενεσθέα τὸν στρατηγὸν τῶν Ἀθηναίων ὃς καὶ ἐπὶ Τροίαν ἀφίκετο, ἄλλοι δὲ λέγουσιν Ἀντιφῶντα, τοῦτον τὸν ῥήτορα κατὰ Θήσεως περὶ τῶν Παλαντιδῶν. ἤκμασε δὲ κατὰ Σικελίαν· Γέλωνος γὰρ καὶ Ἱέρωνος τετελευτηκότων μετέπειγεν εἰς δημοκρατίαν τὰ πράγματα. Κόραξ οὖν τις συνετὸς ἀνὴρ καὶ χρῆσθαι πράγμασιν ἱκανὸς συνιδὼν ὅτι οὐχ ὅμοιον τυράννῳ διακονεῖσθαι καὶ δήμου γνώμην χειρώσασθαι ἀπελθὼν συνέθηκε τέχνην περὶ προοιμίων καὶ διηγήσεων καὶ ἀγώνων καὶ ἐπιλόγων· τούτου γέγονε μαθητὴς ὁ Τισίας, καὶ τοῦ Γοργίου Ἀθήνῃσιν ἐπιδεδημηκότος εἰς τὴν Ἑλλάδα μετέβη τὰ τῆς ῥητορείας καὶ οὕτως εἰς ἀκμὴν παρεγένετο. τῶν δὲ Μακεδονικῶν πραγμάτων κατισχυσάντων Ἀντίπατρος ⊐η ἀπὸ τῆς Ἀττικῆς ἀνεῖλε ῥήτορας καὶ ϙω ἀπὸ τῆς Ἑλλάδος. τότε οὖν ἐπονείδιστόν τι ἡ τέχνη ἐνομίσθη καὶ πάντες αὐτὴν ὡς σφαλερὰν ἀπεωθοῦντο. Πύῤῥος δὲ ὁ Κλαζομένιος καὶ Ἀολλιανὸς ὁ Ἐφέσιος ἐπιγενόμενοι πάλιν ἀνέσωσαν. ὁρίζεται δὲ τὴν ῥητορικὴν Πλάτων καὶ ἐν τῷ Γοργίᾳ πείθους δημιουργὸν διὰ λόγων ἐν αὐτοῖς τοῖς λόγοις τὸ κύρος ἔχουσαν πειστικῆς, οὐ διδασκαλικῆς. καὶ οἱ τοῦ ὅρου προϊστάμενοι σαφῶς λέγουσι καὶ καλῶς *) ἔχειν τὸν ὅρον, διὸ μηδὲ ἑρμηνείας δεῖσθαι. λέγουσι γὰρ ὅτι διὰ τοῦτο εἶπε διὰ λόγων, ἐπειδὴ καὶ πολλαὶ ἄλλαι εἰσὶν αἱ δι' ἔργων πειθοῖ. καὶ ὅτι ἐστὶ δι' ἔργων ἐδήλωσεν Ὅμηρος· καθίσας γὰρ ἐπὶ τοῦ τείχους τοὺς δημηγέροντας πολλὰ δι' Ἑλένην παθόντας καὶ δυσχεραίνοντας τὴν παρουσίαν ὅμως ὡς εἶ-

Vers. 9. fort. desunt quaedam. — 11. cod. δημοκρότην.
*) Fol. 130. a.

δον αὐτὴν περιοῦσαν, ἐποίησεν αὐτοὺς μεταπεπεισμένους τὰ λεγόμενα ἐκεῖνα ἀναβοᾶν

οὐ νέμεσις Τρῶας καὶ ἐϋκνήμιδας Ἀχαιούς.

πάλιν ἡ Φρύνη περὶ ἀσεβείας ἐκρίνετο καὶ Ὑπερείδης πολλὰ λέγων οὐκ ἠδυνήθη πεῖσαι. ὁρῶσα γοῦν αὐτὴ τὰς ἐλπίδας ἀπερρίμμενας καὶ κινδυνεύουσα διαρηξαμένη τὸν χιτωνίσκον οὕτως ἔπεισε τοὺς δικαστὰς ἐνδοῦναι ὥστε διὰ θέας γενέσθαι. πάλιν Μιλτιάδης περὶ προδοσίας κρινόμενος οὐδὲν εἰπὼν τὸ πάθος ὑπέδειξε καὶ ἤρκεσεν ἀντὶ ῥητορείας ἡ θέα. πάλιν ἐὰν μελετήσωμεν ζήτημα τοιοῦτον ἔνθα πάθος ἢ καὶ κρίσις ὑπόκειται εἰς τοῦτο μηχανητέον τὸ ζήτημα κλῖναι ἵνα μᾶλλον δοκῶμεν ἐπιδεικνῦναι τὸ πάθος ἢ λέγομεν· εἶτ' ἐπείπερ καὶ ἡ ῥητορικὴ καὶ ἡ ἰατρικὴ πείθει, οὐ διὰ τῆς πειθοῦς δὲ τὸ κύρος ἔχει τῆς τέχνης, ἀλλ' ἐν τῇ ὑγιείᾳ, διὰ τοῦτο προσέθηκε τὸ ἐν αὐτοῖς τοῖς λόγοις τὸ κύρος ἔχουσα πιστευτικῆς, οὐ διδασκαλικῆς, ἐπειδὴ οὐ πάντως διδάσκει τὸν ὄχλον, ἀλλὰ πείθει. καὶ οὕτως μὲν ὁ σοφὸς Πλάτων. λέξομεν δὲ πρὸς τοῦτον ἀποδεικνύντες αὐτὸν βεβαίως οὐκ ἔχοντα. οὐ γὰρ ὑπὸ τοῦ Πλάτωνος ἔστιν ὁ ὅρος, ἀλλ' ὡς ἀπὸ Γοργίου τοῦτον εἰσήνεγκεν. ἡνίκα δὲ οὐ βεβαίως τι λέγει, ἑτεροπροσώπως ἀνατίθησι. φαμὲν οὖν ὅτι πρῶτον ἀναντίρρητος ὁ Δημοσθένης ὅρος καὶ ὅτι ἡ ῥητορικὴ δύναμις ἐν τῇ τῶν ἀκουόντων εὐνοίᾳ κεῖται, ἔπειτα οὐδὲ γένος ἔχει ὅθεν δεῖ τοὺς ὅρους συνίστασθαι, τρίτον εἴπερ πειθοῦς δημιουργός, εὑρίσκονται δὲ ῥήτορε δύο, καὶ τὸν ἕνα πάντως ἀνάγκη περιγενέσθαι, ἆρ' οὖν τὸν μὴ πείθοντα οὐκ ὀφείλομεν καλεῖν ῥήτορα; ἀλλὰ πρὸς τοῦτο λέγουσιν ὅτι καὶ ἰατροὶ πολλάκις ἐπισκέπτονται καὶ ὁ μὲν *) ἐπιτυγχάνει, ὁ δὲ οὔ, ἆρα οὖν παρὰ τοῦτο οὐκ εἰσὶν ἰατροί; φαμὲν οὖν ὅτι ἀνοίκειόν ἐστι τὸ παράθειγμα· ἐκεῖ γὰρ οὐ τῆς ὑγιείας δημιουργὸς ὁ ἰατρὸς ἀλλὰ περιποιητικός, ἐνταῦθα δὲ τὸ δημιουργὸς ἐντέτακται, τὸ δὲ δημιουργὸς πάντως ἔστιν.

Vers. 3. Il. γ, 156. — 8. deest σωθεῖσαν vel simile. — 26. *ita margo; cod.* οὐδέ γε ἔχει.

*) *Fol. 130. b.*

ἔδει οὖν εἰπεῖν πειθοῦς κατασκευαστικῆς ἢ ἄλλο τοιοῦτον. ὡρίσατο δὲ καὶ ἄλλως: πολιτικῆς μορίας εἴδωλον τῆς δικαστικῆς. ἡμεῖς τοίνυν τὸν αὐτῆς ὅρον περιθησόμεθα. τῶν οὖν διαλαβόντων περὶ ῥητορικῆς οἱ μὲν ἀρετὴν ἐκάλεσαν ἀπὸ τοῦ μείζονος καὶ ἐλάττονος ὁρισάμενοι, οἱ. δὲ κακίαν ὁμοίως ἐκ τοῦ μείζονος καὶ ἐλάττονος τὸν ὅρον παραδόντες· οἱ μὲν γὰρ αὐτὴν ἐκάλεσαν ἐπιστήμην ἀπὸ τοῦ μείζονος ὁριζόμενοι ἐπιστήμην τοῦ εὖ λέγειν οἱ Στωϊκοὶ· τὸ δὲ εὖ λέγειν ἔλεγον τὸ ἀληθῆ λέγειν· οἱ δὲ ἀπὸ τοῦ ἐλάττονος ὡρίζοντο λέγοντες αὐτὴν διαλογικὴν εἶναι· ἡ δὲ διαλογικὴ οὕτως ὁρίζεται, δύναμις τοῦ ὄντος πιθανοῦ· τοῦτον δὲ τὸν ὅρον οἱ περὶ τὸν Ἀλκιδάμαντα ἔλεγον. λέγομεν δὲ ἀπὸ τοῦ ἐλάττονος οὐχ ὅτι ἐλάττων τῆς ῥητορικῆς ὁ ὅρος, ἀλλὰ τοῦ προλαβόντος ἐστὶν ἐλάττων λέγειν αὐτὴν ἐπιστήμην· οἱ δὲ ἐν τοῖς πράγμασιν ἀρετὴν αὐτὴν λέγοντες οἱ μὲν πολιτικὴν, οἱ δὲ ὑποπολιτικὴν ἐκάλεσαν. καὶ πολιτικῆς μὲν ὅρος οὗτος: ἐπιστήμη τοῦ εὖ πράττειν τά τε ἴδια καὶ τὰ κοινά. διὰ τοῦ μὲν εἰπεῖν τὰ κοινὰ τὸ πολιτικὸν δηλοῦντες, διὰ δὲ τοῦ ἴδια τὸ ἠθικὸν καὶ οἰκονομικόν· ὑποπολιτικὴν δὲ ὁ λέγων αὐτὴν τὴν αὐτὴν μὲν εἶναι τῇ πολιτικῇ φησὶν, ὑποβεβηκέναι δὲ, καὶ τὸν μὲν πολιτικὸν τὸν δυνάμενον ὠφελεῖν ζῶντα, τὸν δὲ ὑποπολιτικὸν τὸν γράμματα τῇ πόλει καταλιπόντα ὠφελεῖν δυνάμενα. τῶν δὲ εἰς κακίαν καὶ ἀρετὴν διαβαλλόντων οἱ μὲν λέγουσιν αὐτὴν σοφιστικὴν καὶ ὁρίζονται οὕτως: λόγων ἰσχὺς περὶ τοῦ δοκοῦντος πιθανοῦ. τούτου δὲ τὴν πρόφασιν Πρόδικον καὶ Ἱππίαν δεδωκέναι· ὁ δὲ Πλάτων κολακείαν αὐτὴν καλεῖ ὁριζόμενος πολιτικοῦ μορίου εἴδωλον τῆς δικαστικῆς, ἔτι δὲ καὶ τυραννίδος ἀπὸ τῶν πολυλόγων, πρὸς δὲ τούτοις καὶ ἐμπειρίαν. καὶ ταῦτα μὲν περὶ τῆς τέχνης φασίν.

Ἀναγκαῖον δὲ περὶ ταυτοῦ διαλαβεῖν καὶ γνῶναι

Vers. 23. cod. φασὶν. — 30. cod. ἱππίφα.

*) Fol. 131. a.

κατὰ πόσους τρόπους συνίσταται, οὕτως γὰρ μαθησόμεθα εἰ ἁρμόττουσι τῇ τέχνῃ οἱ ὅροι. ἔστιν οὖν ὕλη, εἶδος, τέλος, ὄργανον. ἐὰν γὰρ τὰ τέσσαρα ταῦτα συνέλθῃ ἐν τῇ παραθέσει, παρόμοιά ἐστιν, εἰ δὲ μή, διαλλάττει εἰ παρ' ἓν τούτων φανῇ ὡς ἔστιν ἐντεῦθεν μαθεῖν. ἔστω Σωκράτους εἰκὼν ἡ μὲν ἐν ξύλῳ, ἡ δὲ ἐν λίθῳ. τὸ μὲν εἶδος ἓν καὶ ἡ μίμησις τέλος, ὁ Σωκράτης· ὄργανα πολλάκις τὰ αὐτὰ, σμίλη ἤ τι τοιοῦτον. ἡ μέντοι ὕλη διαλλάττει. καὶ ἐπὶ ἰατροῦ ἔστω, ὁ μὲν φαρμακὸς, ὁ δὲ χειρουργικός· τούτοις ὑποκείμενον οἱονεὶ ὕλη μία τὰ σώματα, τὸ εἶδος ἕνι οἱ λόγοι, τὸ τέλος ἀμφοτέρων ἡ τῆς ὑγιείας ζήτησις. ἀλλὰ τὰ ὄργανα διάφορα· ὁ μὲν γὰρ ἴσως τέμνων ἢ καίων, ὁ δὲ τῇ διαίτῃ χρώμενος θεραπεύει, καὶ ἁπλῶς εἰπεῖν ἐὰν μὴ κατὰ τὰ δ ταῦτα συνέλθῃ, οὐ σώζεται ἡ ὁμοίωσις. ἐξετάσωμεν οὖν καθ' ἕκαστον ὅρον εἰ δυνάμεθα πρὸς τὴν ῥητορικὴν ἁρμόσαι· πιθανῶς μέντοι ὁ λόγος προσέλθοι· τὸν γὰρ ἀληθινὸν ὅρον εὐθὺς ἀποδώσομεν. οἱ τοίνυν λέγουσι [δὲ] αὐτὴν ἐπιστήμην, λέγουσιν ὅτι τῆς ἐπιστήμης τοὺς λόγους ποιεῖσθαι, οὐκοῦν καὶ ὁ ῥήτωρ οἶδε περὶ ὧν διαλέγεται καὶ περὶ προοιμίων καὶ τῶν λοιπῶν. τέλος τὸ ἀγαθὸν, οὐκοῦν καὶ ὁ ῥήτωρ οἶδε περὶ ὧν διαλέγεται· ὄργανον ὁ λόγος αὐτὸς ᾧ πείθει ὅπερ καὶ ὁ ῥήτωρ ἔχει. τῆς διαλεκτικῆς ὕλη μὲν τὸ πιθανὸν ἐν πᾶσιν, εἶδος ἡ δύναμις· διὰ συλλογισμῶν γὰρ πρόεισι, τέλος ἡ πειθὼ, ὄργανον τὰ ἔνδοξα πρόσωπα. παραπλησίως οὖν τὰ τῆς ῥητορικῆς. τῇ δὲ πολιτικῇ ὕλη μὲν τὰ πράγματα τὰ πολιτικὰ, εἶδος δὲ τὸ πάντων ὁμοίως ἐπιμελεῖσθαι, τέλος τὸ συμφέρον, τὸ δίκαιον, τὸ καλὸν· ὄργανον οἱ κατὰ μέρος τεχνῖται. οἱ δὲ κακίαν λέγοντες καὶ σοφιστικὴν φασὶν ὅτι τῇ σοφιστικῇ ὕλη τὸ περὶ πάντων δοκεῖν πιθανῶς διαλέγεσθαι, εἶδος παλίμβολον καὶ ἄστατον, τέλος ὁ χρηματισμὸς, ὄργανον ἡ ὁμωνυμία τῶν λέξεων καὶ τὰ παρειμένα. οὐκοῦν καὶ ὁ ῥήτωρ περὶ πάντων δοκεῖ πιθανῶς τοὺς λόγους *) ποιεῖσθαι· εἶδος δὲ ἔχει καὶ τὸ μηδαμοῦ τοῖς αὐτοῖς ἐμ-

*) Fol. 131. b.

μένειν. ἀμέλει εὑρίσκομεν τοὺς ῥήτορας καὶ ἀπολογίας καὶ κατηγορίας περὶ τῶν αὐτῶν ποιουμένους, ὡς καὶ ὁ Ἀντιφῶν ἔχει τὴν δευτερολογίαν ὑπὲρ καὶ κατὰ καὶ πάλιν [ὑπὲρ] περὶ τῶν αὐτῶν. τέλος δὲ τὸν χρηματισμόν. ἀμέλει καὶ Δημοσθένης πλεῖστα λαβὼν τὴν ὑπὲρ τῶν Μεγαλοπολιτῶν συμβουλὴν ἐποιήσατο. ὄργανον δὲ καὶ αὐτὸς ἔχει τὴν ὁμονομίαν τῶν λέξεων, ὥσπερ ἐπὶ τῶν σοφιστικῶν ἐκείνων: κίονες ἦσαν ἐνταῦθα χθὲς εἶτα λέγουσι καὶ πῶς μὴ σήμερον ᾄδουσιν. ἐπειδὴ γὰρ τὸ ἦσαν ἐμελῴδουν σημαίνει καὶ τὸ ὑπῆρχεν, ἐν τῇ τῆς ὁμωνυμίας ἐσοφίζοντο. ἐκ δὲ τῶν παρειμένων ὥσπερ ἐν τῷ κατὰ Ἀριστοκράτους ἐκείνου εἰπόντος, ἐάν τις ἀποκτείνῃ Χαρίδημον καὶ σιωπήσαντος διὰ τὸ δῆλον ὁ δῆμος ὡς ἀναγκαῖα ἀπαιτεῖ πότερον ἑκὼν ἢ ἄκων, δικαίως ἢ ἀδίκως. πάλιν ὕλη τῇ κολακείᾳ τὰ ἐξαπατώμενα πάθη ὁρῶσα γάρ τινα περὶ ἀνδρείαν φιλότιμον, ἐντεῦθεν τὴν ἀπάτην ἐργάζεται. εἶδος τῇ κολακείᾳ ἡ τῆς εὐνοίας προσποίησις, τέλος ὁ χρηματισμός, ὄργανον ἀπατηλὸς λόγος. οὐκοῦν καὶ τῇ ῥητορικῇ ὕλη μὲν ἂν εἴη τὰ πάθη τῶν πολιτῶν, εἶδος δὲ ἡ τῆς εὐνοίας προσποίησις. ἀμέλει ὁ Δημοσθένης ἀπαιτῶν εὐνοεῖν αὐτῷ τοὺς δικαστὰς αὐτὸς δοκεῖ ἐκείνοις εὔνους εἶναι. οἱ δὲ τυραννικὴν λέγουσιν ὅτι ὕλη τῷ τυράννῳ ἡ βλαπτομένη πόλις, εἶδος δὲ ἡ παράνομος γνώμη, τέλος ἡ ἡδονή, ὄργανον κατὰ μέρος πολῖται· διὰ γὰρ τούτων ἐκείνους τιμωρεῖται. οὐκοῦν καὶ τῷ ῥήτορι ὕλη ἡ τῶν πολλῶν βλάβη, εἶδος τῆς γνώμης κακία, τέλος ἡ τῶν ἔργων ἡδονή, ὄργανον ἡ δι' ἄλλων ἐπιβουλή. τῆς δὲ ἐμπειρίας οὐδὲν τὸ διαφέρον πρὸς τὴν ἐπιστήμην ἢ τὸ εἶδος· ὁ μὲν γὰρ λόγῳ, ὁ δὲ ἐμπειρίᾳ πρὸς ἓν τέλος ἐπείγονται, καὶ ταῦτα μὲν οὕτως. ἡμεῖς δὲ μικρὸν ἄνωθεν ἀναλαβόντες δείξομεν αὐτοὺς μηδὲν τῆς καθ' ἡμᾶς ῥητορικῆς εἰρηκότας. τρεῖς τοίνυν εἶναι ῥητορικὰς ὑποτίθενται μίαν μὲν τὴν ἀνωτάτην καὶ σύνδρομον τῇ φιλοσοφίᾳ, δευτέραν δὲ *) τὴν μέσην, γ τὴν

Vers. 9. codex σήμερον ἐμελῴδουν: marg. σημαίνει τὸ ἐμελ. — 12. Demosth. pag. 645. — 14. ita margo: cod. ὁ δι ὡς.

*) Fol. 132. a.

κολακευτικὴν καὶ ἐζήτησεν Ἀριστοτέλης διὰ τί ἐδόκησε μέσην εἶναι ῥητορικὴν καί φησιν ὅτι τὸν δῆμον καὶ τοὺς δικαστὰς ἐξ ἰδιωτῶν συγκειμένους οὐ δυνατὸν τῇ πρώτῃ παρακολουθεῖν. καὶ ἐπιστήμονος τὰ λεγόμενα δέξασθαι ὅθεν ἀνάγκη γέγονε τὴν μέσην γενέσθαι, ἔπειτα ἡ δύναμις ἐφ' ἑκατέραν ῥέπει διὰ τὸ ἀναγκαῖον τῶν πραγμάτων καὶ οἱ ταύτην μετιόντες ἄμφω ἐπίστανται καὶ τὰ βλάπτοντα καὶ τὰ λυσιτελοῦντα, ἀλλ' οὐχ ὅπως χρήσονται καθάπερ ὁ ἰατρὸς οἶδε μὲν καὶ τὰ δηλητήρια καὶ τὰ ἀλεξιφάρμακα, οἶδε δὲ οὐχ ἵνα ποίῃ, ἀλλ' ἵνα γινώσκων φυλάξηται· καὶ ταῦτα μὲν οὕτως. οἱ δὲ περὶ τὸν Εὐαγόραν ὁρῶντες τοὺς μετιόντας ποικίλους ὄντας καὶ οὐδὲ μιᾷ χρωμένους γνώσει παραπλησίως αὐτὴν διείλοντο καὶ ἔφασαν εἶναι ε ὡς φωνὴν εἰς διάφορα σημαινόμενα διελόντες· τὰ γὰρ διαιρούμενα ἢ ὡς γένος εἰς εἴδη διαιρεῖται ἢ ὡς ὅλον εἰς μέρη ὡς ἄν εἴπω: τοῦ ἀνδριάντος τὸ μὲν πόδες, τὸ δὲ κεφαλή· ἢ ὡς εἶδος οὐσίας εἰς συμβεβηκότα τῶν ἀνθρώπων: ὁ μὲν λευκὸς ὁ δὲ μέλας καὶ τὰ ὅμοια. ἢ ὡς συμβεβηκότα εἰς οὐσίαν ὡς ἄν εἴπω: τοῦ λευκοῦ τὸ μὲν κύκνος, τὸ δὲ μάρμαρον, ἢ ὡς φωνὴ εἰς διάφορα σημαινόμενα, ὡς ἄν εἴπω: Αἴας Ὀϊλέος καὶ Αἴας Τελαμώνιος. κατὰ ταύτην οὖν τὴν διαίρεσιν ε εἶπον εἶναι ῥητορικάς, τὴν μὲν σύνδρομον τῇ φιλοσοφίᾳ ἣν ὁρίζονται ἐπιστήμην τοῦ εὖ λέγειν, ὅπερ οὐ δύναται κατὰ ῥητορικῆς ἁρμόζειν· εἰ μὲν γὰρ ἐπιστήμην εἶπε καταχρηστικῶς οἱονεὶ τέχνην, τί μὴ καὶ τὰς ἄλλας τέχνας ἐπιστήμας ἐκάλεσε, κἂν δῶμεν τοῦτο εἶναι, οὐδὲ οὕτως ὅρος κατὰ ῥητορικὴν ἂν λέγοιτο· οὐ περιέλαβε γὰρ τὰ τῇ τέχνῃ συμβαίνοντα· καὶ γὰρ ἡ γραμματικὴ τέχνη ἐστὶ τοῦ εὖ λέγειν. εἰ δὲ κυρίως ἔλαβε τὴν ἐπιστήμην, πλείοσιν ἐνέπεσιν ἁμαρτήμασι· τῆς γὰρ ἐπιστήμης μία ἐστὶν ὁδὸς ἐπὶ τὴν ἀλήθειαν, οἷον γεωμέτραι μέλλοντες περὶ τριγώνων διδάσκειν ἓν τέλος ἔχουσι καὶ μίαν ἀπόδειξιν τὴν εἰς τοῦτο, ἂν πολλοὶ εἰσίν. οἱ δὲ ῥήτορες οὐ διὰ τῶν αὐτῶν ἄρχονται, οὔτε ἀλλήλοις, οὐθ' ἑαυτοῖς, ἀλλὰ καὶ πολλάκις ἀλλήλοις ἐναντιοῦνται ὥσπερ παρὰ Θουκιδίδῃ· ἐν μὲν

τῇ πρώτῃ ἱστορίᾳ ἐστὶ τῆς καταφρονήσεως μέμψις: οὐ γὰρ δὴ ἐπὶ τὴν πολλοὺς βλάψασαν καταφρόνησιν καταφεύξεσθε. ἐν ἑτέρῳ δὲ τόπῳ, ἐν τῇ γ ἱστορίᾳ φησὶ ὅτι δεῖ κατὰ τῶν πολεμίων ἐλθεῖν οὐ φρονήματι μόνον ἀλλὰ καὶ *) καταφρονήματι. οὐκοῦν οὐκ ἐπιστήμη οἱ δὲ λέγοντες εἶναι πολιτικὰ, ὕστερον γὰρ περὶ τῆς διαλέξεως ἐροῦμεν, οὐδ' αὐτοὶ ἀληθῆ φασίν· εἰ γὰρ ἐπιστήμη ἐστι τοῦ εὖ πράττειν, ἐδείχθη δὲ μὴ δυνάμει ἐπιστήμην εἶναι ῥητορικὴ, ἄλλοι λέγουσι τὴν ἐπὶ τὰ ἐναντία εὖ ἔχουσαν ἣν καὶ Δημοσθένης καὶ Θεμιστοκλῆς μετήρχοντο. ἀμέλει Θεμιστοκλῆς ἐν νέοις μὲν ὢν πολλὴν ἐπεδείξατο τὴν ἀσέλγειαν, ἀνὴρ δὲ γενόμενος ἔδοξεν εἶναι προδότης καὶ χρήματα ὑπὸ τῶν Εὐβοέων κεκομικέναι. ἀλλὰ μὲν οὐδὲ διαλεκτικὴ εἶναι δύναται· ὁ γάρ ἐστι ταῦτα δι' ὧν αἱ πίστεις γίνονται, συλλογισμὸς, ἐπαγωγὴ, ἐνθύμημα, παράδειγμα. συλλογισμὸς ἀπὸ τῶν καθόλου τὰ κατὰ μέρη κατασκευάζει, οἷον πᾶσα προδοσία κακὸν. προδότης Αἰσχίνης, οὐκοῦν ἕτεροι καὶ Αἰσχίνης κακόν. ἐπαγωγὴ ἀπὸ μερικῶν τὸ καθόλου: πᾶς ἄνθρωπος τὴν κάτω γένυν κινεῖ, καὶ ἵππος καὶ κάμηλος καὶ ὄνος· οὐκοῦν ἅπαν ζῶον τὴν κάτω γένυν κινεῖ. τοῦτο δὲ οὐ πάντως ἐστίν, ἀμέλει ὁ κροκόδειλος τὴν ἄνω γένυν κινεῖ. τὰ μὲν γὰρ καθόλου τῶν μερικῶν διῄρηται, τὰ δὲ μερικὰ οὐ πάντως τῶν καθόλου. ταῦτα μὲν οὖν ἡ διαλεκτικὴ κέκληται καὶ χρῆται αὐτοῖς, ἡ δὲ ῥητορικὴ τό τε ἐνθύμημα καὶ τὸ παράδειγμα· ἐνθύμημα μὲν οὖν ἐστιν ἀτελὴς συλλογισμὸς καὶ οὐκ ἔχων ἀπὸ τοῦ συμπεράσματος τὸ ἀναγκαῖον ὥσπερ ἐκεῖνος: ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθεῖην ταῦτα πράττων καὶ κατασκευαζόμενός οὗτος ἐμοὶ πολεμεῖ, κἂν μήπω βάλλῃ μηδὲ τοξεύῃ· οὐκέτι γὰρ ἐπήνεγκεν ὥσπερ ἐν συμπεράσματι· οὐκοῦν καὶ Φίλιππος ταῦτα ποιῶν πρόδηλος ἡμῖν πολεμεῖ. παράδειγμα δὲ ἡ ἐκ τῶν παραλαβόντων ὁμοίωσις ὡς

Vers. 1. vid. pag. 55. — 20. καὶ ἵππος . . . κινεῖ ex margine. — 29. Demosth. pag. 115, 10.

*) Fol. 152. b.

ἐν τῷ πρώτῳ Φιλιππικῶν: εἰ γὰρ ὤφ' ἥκομεν Εὐβοεῦσι βεβοηθηκότες. ὃ ἐστὶν ἡ κολακευτικὴ ἦν Ἀριστογείτων καὶ οἱ περὶ αὐτὸν μετήρχοντο, ἐν μὲν δικαστηρίῳ συκοφαντικὴν ὅθεν τυραννίδα αὐτὴν ἔλεγον, ἐν δ' ἐκκλησίαις κολακικὴν ἐμπειρίαν ἣν ὁ Δημάδης μετήρχετο ναύτης ὤν, ἐπιτηδήσας δὲ τῇ τέχνῃ καὶ ἀλόγως αὐτὴν μετερχόμενος. καὶ οὗτοι μὲν οὕτως πρὸς ἀπέχθειαν καὶ ἡδονὴν ὁρίζονται. Διονύσιος δὲ ἐπιγενόμενος ὁ Ἁλικαρνασεὺς καὶ τῶν μὲν τὴν χάριν οὐκ ἀποδεξάμενος, τῶν δὲ τὴν λοιδωρίαν μισήσας ὅρον αὐτῇ τὸν οἰκεῖον ἀποδέδωκεν εἰπών: ῥητορική ἐστι δύναμις τεχνικὴ πιθανοῦ λόγου ἐν πράγματι πολιτικῷ τέλος ἔχουσα τὸ εὖ λέγειν.

Ἐπειδὴ τοίνυν ἐγκωμεν περὶ τῆς ῥητορικῆς, ἀναγκαῖον ἐπὶ τούτοις μαθεῖν καὶ τοῦ ῥήτορος τὸν λόγον. ἔργα οὖν *) ῥητορείας γ, νόησις, εὕρεσις, διάθεσις. νόησις μὲν εἰς ὃ διαιρεῖται, γνῶναί τε τὸ πρόβλημα πολιτικὸν ἢ μή· τῶν γὰρ προβλημάτων τὰ μέν ἐστι πολιτικά, τὰ δὲ φιλόσοφα, τὰ δὲ ἰατρικά, τὰ δὲ μέσα τούτων ἃ πολιτικὴν μὲν ἔχει τὴν ζήτησιν, ὕλην δὲ ἰατρικὴν ἢ φιλόσοφον. καὶ περὶ μὲν πολιτικῶν εὔδηλον τίνα φύσιν ἐπιδέχεται, τὰ δὲ ἰατρικὰ τοιαῦτά ἐστιν, οἷον διά τί τὰ βρέφος ἐξ μὲν μηκῶν ὂν οὐ ζῇ, ζ δὲ γεννώμενον ἢ θ ζῇ. φιλόσοφα δὲ εἰ ἡ ψυχὴ ἀθάνατος. τὰ δὲ μικτά, οἷον ἐκύμονά τις ἔτυψε κατὰ γαστρὸς καὶ κρίνεται φόνου. ἐνταῦθα γὰρ τὸ μὲν πλάσμα ἦγουν ἡ ζήτησις πολιτική, ἡ δὲ ὕλη ἰατρική. ἐκ δὲ φιλοσοφίας μικτά, οἷον ζωγράφῳ φιλόσοφος δοὺς χρήματα εἶπε τὸ κάλλιστον τῶν ζώων γράψαι, ὁ δὲ τὸν κύνον ἐποίησε καὶ κρίνεται βλάβης. ἐνταῦθα ζητητέον εἰ ὁ κύνος ὅπερ ἴδιον φιλοσοφίας. ἡ μέντοι ζήτησις ἡ περὶ τῆς βλάβης πολιτική. ἐνταῦθα μέντοι δεῖ τὸν μελετῶντα τοῖς ἐπισταμένοις ἀνατιθέναι τὰς αἰτίας, καὶ ὁ Λυσίας ἐν τῷ περὶ ἀμβλώσεως κρίνων φόνου αἴτιον βιάζεται ζῶον τὸ βρέφος ἀποδεικνύναι καὶ παν-

---

Vers. 12. cod. πολιτικοῦ, — 31. seqq. vid. pag. 135.

*) *Fol.* 133. a.

ταχοῦ φησὶν ὥσπερ οἱ ἰατροὶ καὶ αἱ μαῖαι ἀπεφήναντο. καὶ ταῦτα μὲν οὖν τὰ προβλήματα. δεῖ δὲ νοήσαντα πρῶτον τὸν ῥήτορα καταμαθεῖν εἰ συνέστηκεν· ἐνδέχεται γὰρ πολιτικὸν μὲν εἶναι, ἀσύστατον δὲ. κατὰ δὲ τὴν νόησιν δεῖ καὶ τὸ εἶδος ἐπιγνῶναι ἐφ' ὃ ἀνάγεται ἢ δικανικὸν ἢ συμβουλευτικόν. γ καὶ τὴν στάσιν εἰς ἣν τὸ πρόβλημα ἀναφέρεται. μετὰ δὲ τὸ νοῆσαι ἔστιν εὑρεῖν. εὕρεσις δὲ εἰς δύο διαιρεῖται, εἰς ἐνθύμημα καὶ παράδειγμα ὧν τὸ μὲν ἕτερον ἴδιον τοῦ ῥήτορος, τὸ δὲ παράδειγμα ἐκ τῶν παρ' ἑτέρων λαμβανομένων τὴν πίστιν ἐργάζεται, ἐνίοτε δὲ καὶ ἐναλλὰξ εὑρίσκεται ταῦτα τῇ μὲν ὑποταττομένου παραδείγματος τῷ ἐνθυμήματι ὡς ἐν πρώτῳ Φιλιππικῶν. μετὰ γὰρ τὸ δεῖξαι ὅτι λυσιτελεῖ τοῖς Ἀθηναίοις ἡ τῶν Ὀλυνθίων σωτηρία φησὶν: εἰ γὰρ ὅθ' ἥκομεν Εὐβοιεῦσι βοηθηκότες. ἀλλαχοῦ μεταλλάξας εἶπεν ὅτι ἀπηγγέλθη Φίλιππος τρίτον ἔτος τουτὶ Ἠραῖον τεῖχος πολιορκῶν καὶ ἐπενεγκὼν ὁ καιρὸς αὐτὸς αὐτοῦ καὶ τὰ λοιπά. δεῖ δὲ μὴ μόνον εὑρεῖν ἀλλὰ καὶ ἑρμηνεῦσαι, ἑρμηνείας δὲ ἀρεταὶ ὅ, σαφήνεια, συντομία, πιθανότης, ἑλληνικὴ λέξις. ἡ δὲ διάθεσις εἰς δύο διαιρεῖται, εἰς τάξιν καὶ οἰκονομίαν. *) τάξις μὲν ὡς ἂν εἴπω ὅτι ἐν τῇ πραγματικῇ πρῶτον μὲν τὸ δίκαιον, εἶτα τὸ συμφέρον. καὶ αὐτὴ μὲν ἡ τάξις. οἰκονομία δὲ ἡ πρὸς τὸ συμφέρον τῶν κεφαλαίων ἐναλλαγὴ ὡς Δημοσθένης ἐν τῷ περὶ στεφάνου ἐπειδὴ κατὰ τὸ νόμιμον ἠσθένησεν, ἔῤῥωτο τῷ δικαίῳ. προὔταξε μὲν τὸ δίκαιον εἰς δύο διελὼν εἶτα τὸ νόμιμον καὶ μετ' αὐτὸ πάλιν τὸ δίκαιον, καὶ τῇ τοῦ δικαίου ἑκατέρωθεν βοηθείᾳ τὸ ἀσθενὲς τοῦ νομίμου κατέκρυψε. τινὲς δὲ καὶ δύο ἕτερα προσῆψαν τούτοις, μνήμην τε καὶ ὑπόκρισιν ἅπερ φαμὲν μὴ εἶναι τοῦ ῥήτορος συστατικά, ἐπειδὴ μηδ' ἐν μελέτῃ πέφυκε γίγνεσθαι, ἀλλὰ φύσεώς ἐστι πλεονέκτημα.

Ἑξῆς ῥητέον περί τε σκοποῦ τοῦ παρόντος συγγράμματος καὶ χρησίμου καὶ συγγραφέως καὶ γνησιότητος καὶ ἐπιγραφῆς καὶ ἐπὶ ποῖον εἶδος τῆς ῥητορικῆς ἀνά-

*) Fol. 133. b.

γεται ὁ σκοπός. σκοπὸς τοίνυν ἐστὶν αὐτῷ περὶ προτάσεως γενικῶν προβλημάτων. τὸ δὲ χρήσιμον ἐντεῦθεν σκοπητέον· τῆς ῥητορικῆς τὸ μέν ἐστιν ἐξηγητικὸν, τὸ δὲ λεκτικὸν. οὐδέτερον οὖν τούτων εἰδέναι δυνατὸν ἀμύητον ὄντα τοῦ παρόντος συγγράμματος. διελεῖν μὲν λόγον ἀρχαῖον χωρὶς τέχνης ἀδύνατον, εἰπεῖν δέ τι καινότερον ἐκ τῆς τέχνης πάλιν ἀδύνατον. Περὶ δὲ συγγραφέως οἱ μὲν λέγουσιν Ἑρμογένην τὸν συγγραφέα ὡς Φιλόστρατος ἱστορεῖ ἐν τοῖς βιβλίοις τῶν σοφιστῶν καὶ φησὶν αὐτὸν γεγονότα φύσεως δυκάμει χρησάμενος ἐπὶ τὸ γράφειν ἐληλυθέναι, καὶ νέον μὲν ὄντα διὰ τὸ εὐφυὲς εἰς γνῶσιν Μακρῷ καταστῆναι τῷ βασιλεῖ, εἰς ἄνδρας δὲ ἐλθόντα τὴν τῶν λόγων δύναμιν ἀποβαλεῖν ὑπ' οὐδεμιᾶς νόσου, ὡς δέ τινες τὴν αἰτίαν βούλονται λέγειν φασὶν ὅτι νέῳ μὲν ὄντι τὸ θερμὸν πλεονάσαν τοσαύτην ἐνεποίησε περὶ τοὺς λόγους ἰσχύν, ἐπὶ γῆρας δὲ ἥκοντι τὸ θερμὸν ἀποσβεσθὲν συνεῖλε τοὺς λόγους, καὶ ἦν ἐντεῦθεν εὐκαταφρόνητος ὅθεν οἱ τοῦτον ἐπιτοθάζειν βουλόμενοι γέροντα μὲν ἐν νέοις ἐκάλουν, ἐν δὲ γηράσκουσι παῖδα. καὶ ὅτι τούτου φασὶν εἶναι τὸ σύγγραμμα, πίστιν ἐντιθέασι ταύτην ὡς πεποίηται μὲν αὐτῷ ὁ περὶ ἰδεῶν, τῇ δ' αὐτῇ ἐπαγγελίᾳ ἐχρήσατο νῦν καὶ ἐνταῦθα, ἡμεῖς δὲ εἴτε τούτου ἐστὶν, εἴθ' ἑτέρου ὡς φασί τινες, μηδὲν τῆς προσηγορίας διενεχθέντες ὡς χρήσιμον τὸ σύγγραμμα δεχόμεθα. ἀκόλουθον ἐπὶ τούτοις περὶ τάξεως τοῦ βιβλίου διαλαβεῖν καὶ δῆλον ὅτι προσηκούσης *) ἔτυχε τάξεως. γ γάρ εἰσι ῥητορικαὶ ἃς καὶ αὐτὸς Ἑρμογένης συνεγράψατο ἥ τε τῶν προγυμνασμάτων καὶ ἡ παροῦσα τῶν στάσεων καὶ ἡ περὶ τῶν ἰδεῶν. εἰ μὲν οὖν ἱκανὸν ἦν εὐθὺς ἐξ ἀρχῆς τῷ περὶ στάσεων ἐγχειρῆσαι βιβλίῳ, εὔδαιμον ἦν. ἐπειδὴ δὲ τῶν ἀνθρώπων φύσις οὐ πέφυκεν εὐθέως τῶν μεγάλων ἀντιλαμβάνεσθαι, ἀλλὰ δὴ πρότερον τοῖς βραχέσιν ἐζήτησαν οὕτως ἐπὶ τὸ μεῖζον ἐλθεῖν. ἀναγκαίως οἱ παλαιότεροι τῶν σοφιστῶν προγυμνάσματα πρῶτον ἐδίδαξαν, εἶτα κατὰ β τάξιν τὰς στάσεις καὶ τριτὸν

Vers. 9. vid. Philostr. pag. 577 Olear.

*) Fol. 154. a.

τὸ περὶ ἰδεῶν· μῦθος μὲν γὰρ καὶ χρεία καὶ γνῶσις καὶ θέσις εἰς τὸ τῆς συμβουλῆς εἶδος ἀνάγεται, ἐγκώμιον δὲ καὶ ψόγος καὶ σύγκρισις εἰς τὸ πανηγυρικόν, ἀνασκευὴ δὲ καὶ κοινὸς τόπος νόμου εἰσφορὰ εἰς τὸ δικανικόν, καὶ ἐζήτησαν διὰ τί τελείου ὄντος τοῦ ἐγκωμίου μετὰ τῶν προγυμνασμάτων τὴν τάξιν ἐποιήσαντο καὶ φαμὲν ὅτι συναναμέμικται τοῦτο μετὰ τῶν β εἰδῶν, τοῦ τε συμβουλευτικοῦ καὶ τοῦ δικανικοῦ ὥσπερ Δημοσθένης ἐποίησεν ἐν μὲν συμβουλευτικῷ τοὺς προγόνους ἐγκωμιάζων. καὶ τούτῳ τοὺς ἀνθρώπους εἰς τύδε προτρέπομεν, ἐν δὲ τῷ δικανικῷ τῷ περὶ τοῦ στεφάνου ἐγκώμιον παραλαβὼν περὶ αὐτοῦ πολιτικὰ καὶ ψόγον Αἰσχίνου διὰ τοῦτο γοῦν ἐπειδὴ τούτοις συνεπλέκετο τὸ εἶδος ὡς μερικὸν μετὰ τῶν προγυμνασμάτων ἐτάχθη. εἰκότως οὖν κατὰ β τάξιν τὸ περὶ στάσεων διδασκόμεθα, εἶτα μετὰ τοῦτο τὸ περὶ τῶν ἰδεῶν. πρότερον γὰρ δεῖ νοῆσαι καὶ διελεῖν τὰ κεφάλαια καὶ οὕτως ἅπερ ἐννοούμεθα καὶ ἡ τέχνη παρέχει φράζειν. β γάρ ἐστι τὰ συνιστῶντα τὸν λόγον, δύναμις καὶ ἡδονή, καὶ ἡ μὲν δύναμις ἐν τοῖς ἐνθυμήμασι καὶ τοῖς κεφαλαίοις ἀναφαίνεται, ἡ δὲ ἡδονὴ διὰ τῆς φράσεως λαμβάνει τὴν ἰσχύν· τά τε σχήματα καὶ τὰ ἤθη καὶ ὅσα ἕτερα τῆς ἡδονῆς ἐστὶ παραστατικά. ζῶον γὰρ πρὸς τῶν παλαιῶν. ὁ λόγος ὠνόμασται καὶ ὃν τρόπον τὸ ζῶον ἐκ ψυχῆς συνέστηκε καὶ σώματος, οὕτως καὶ ὁ λόγος ἐκ ψυχῆς μὲν οἱονεὶ τῶν ἐνθυμημάτων ἐστὶν, ἐκ δὲ σώματος τῆς φράσεως. καὶ ταῦτα μὲν ἀπείληφε τὴν τάξιν εἰκότως. περὶ δὲ τῆς ἐπιγραφῆς ἐκεῖνο λεκτέον, ὡς ἐπέγραψάν τινες Ἑρμογένης περὶ τέχνης ῥητορικῆς. ἁμαρτάνουσι δὲ οὗτοι τοῦ δέοντος· οὐ γὰρ περὶ πάσης ῥητορικῆς τέχνης πρόκειται ὁ σκοπός. αὐτίκα περὶ προοιμίων καὶ διηγήσεων καὶ τῶν ἄλλων ἕτεροι μὲν συνεγράψαντο ὥσπερ Ἀπολλιανὸς καὶ περὶ τοῦτο καταγινόμενοι, Ἑρμογένης δὲ περὶ τούτων οὐδενὸς παραδίδωσιν. οἱ δὲ περὶ στάσεων ἐπιγράφοντες τὸν ἀληθῆ τοῦ τεχνογράφου σκοπὸν ἐποιήσαντο, ἀλλ' ἐπειδὴ περὶ

Vers. 23. conf. Platon. Phaedr. pag. 76 Bekk.

κολακευτικὴν καὶ ἐζήτησεν Ἀριστοτέλης διὰ τί ἐδόκησε μέσην εἶναι ῥητορικὴν καί φησιν ὅτι τὸν δῆμον καὶ τοὺς δικαστὰς ἐξ ἰδιωτῶν συγκειμένους οὐ δυνατὸν τῇ πρώτῃ παρακολουθεῖν. καὶ ἐπιστήμονος τὰ λεγόμενα δέξασθαι ὅθεν ἀνάγκη γέγονε τὴν μέσην γενέσθαι, ἔπειτα ἡ δύναμις ἐφ' ἑκατέραν ῥέπει διὰ τὸ ἀναγκαῖον τῶν πραγμάτων καὶ οἱ ταύτην μετιόντες ἄμφω ἐπίστανται καὶ τὰ βλάπτοντα καὶ τὰ λυσιτελοῦντα, ἀλλ' οὐχ ὅπως χρήσονται καθάπερ ὁ ἰατρὸς οἶδε μὲν καὶ τὰ δηλητήρια καὶ τὰ ἀλεξιφάρμακα, οἶδε δὲ οὐχ ἵνα ποίῃ, ἀλλ' ἵνα γινώσκων φυλάξηται· καὶ ταῦτα μὲν οὕτως. οἱ δὲ περὶ τὸν Εὐαγόραν ὁρῶντες τοὺς μετιόντας ποικίλους ὄντας καὶ οὐδὲ μιᾷ χρωμένους γνώσει παραπλησίως αὐτὴν διείλοντο καὶ ἔφασαν εἶναι ε ὡς φωνὴν εἰς διάφορα σημαινόμενα διελόντες· τὰ γὰρ διαιρούμενα ἢ ὡς γένος εἰς εἴδη διαιρεῖται ἢ ὡς ὅλον εἰς μέρη ὡς ἂν εἴπω: τοῦ ἀνδριάντος τὸ μὲν πόδες, τὸ δὲ κεφαλή· ἢ ὡς εἶδος οὐσίας εἰς συμβεβηκότα τῶν ἀνθρώπων: ὁ μὲν λευκὸς ὁ δὲ μέλας καὶ τὰ ὅμοια. ἢ ὡς συμβεβηκότα εἰς οὐσίαν ὡς ἂν εἴπω: τοῦ λευκοῦ τὸ μὲν κύκνος, τὸ δὲ μάρμαρον, ἢ ὡς φωνὴ εἰς διάφορα σημαινόμενα, ὡς ἂν εἴπω: Αἴας Ὀϊλέος καὶ Αἴας Τελαμώνιος. κατὰ ταύτην οὖν τὴν διαίρεσιν ε εἶπον εἶναι ῥητορικάς, τὴν μὲν σύνδρομον τῇ φιλοσοφίᾳ ἣν ὁρίζονται ἐπιστήμην τοῦ εὖ λέγειν, ὅπερ οὐ δύναται κατὰ ῥητορικῆς ἁρμόζειν· εἰ μὲν γὰρ ἐπιστήμην εἶπε καταχρηστικῶς οἱονεὶ τέχνην, τί μὴ καὶ τὰς ἄλλας τέχνας ἐπιστήμας ἐκάλεσε, κἂν δῶμεν τοῦτο εἶναι, οὐδὲ οὕτως ὅρος κατὰ ῥητορικὴν ἂν λέγοιτο· οὐ περιέλαβε γὰρ τὰ τῇ τέχνῃ συμβαίνοντα· καὶ γὰρ ἡ γραμματικὴ τέχνη ἐστὶ τοῦ εὖ λέγειν. εἰ δὲ κυρίως ἔλαβε τὴν ἐπιστήμην, πλείοσιν ἐνέπεσιν ἁμαρτήμασι· τῆς γὰρ ἐπιστήμης μία ἐστὶν ὁδὸς ἐπὶ τὴν ἀλήθειαν, οἷον γεωμέτραι μέλλοντες περὶ τριγώνων διδάσκειν ἓν τέλος ἔχουσι καὶ μίαν ἀπόδειξιν τὴν εἰς τοῦτο, ἂν πολλοὶ εἰσίν. οἱ δὲ ῥήτορες οὐ διὰ τῶν αὐτῶν ἄρχονται, οὔτε ἀλλήλοις, οὐδ' ἑαυτοῖς, ἀλλὰ καὶ πολλάκις ἀλλήλοις ἐναντιοῦνται ὥσπερ παρὰ Θουκιδίδῃ ἓν μὲν

τῇ πρώτῃ ἱστορίᾳ ἐστὶ τῆς καταφρονήσεως μέμψις· οὐ γὰρ δὴ ἐπὶ τὴν πολλοὺς βλάψασαν καταφρόνησιν καταφεύξεσθε. ἐν ἑτέρῳ δὲ τόπῳ, ἐν τῇ γ ἱστορίᾳ φησὶ ὅτι δεῖ κατὰ τῶν πολεμίων ἐλθεῖν οὐ φρονήματι μόνον ἀλλὰ καὶ *) καταφρονήματι. οὐκοῦν οὐκ ἐπιστήμη οἱ δὲ λέγοντες εἶναι πολιτικὰ, ὕστερον γὰρ περὶ τῆς διαλέξεως ἐροῦμεν, οὐδ' αὐτοὶ ἀληθῆ φασίν· εἰ γὰρ ἐπιστήμη ἐστι τοῦ εὖ πράττειν, ἐδείχθη δὲ μὴ δυνάμει ἐπιστήμην εἶναι ῥητορικὴ, ἄλλοι λέγουσι τὴν ἐπὶ τὰ ἐναντία εὖ ἔχουσαν ἣν καὶ Δημοσθένης καὶ Θεμιστοκλῆς μετήρχοντο. ἀμέλει Θεμιστοκλῆς ἐν νέοις μὲν ὢν πολλὴν ἐπεδείξατο τὴν ἀσέλγειαν, ἀνὴρ δὲ γενόμενος ἔδοξεν εἶναι προδότης καὶ χρήματα ὑπὸ τῶν Εὐβοέων κεκομικέναι. ἀλλὰ μὲν οὐδὲ διαλεκτικὴ εἶναι δύναται· ὃ γάρ ἐστι ταῦτα δι' ὧν αἱ πίστεις γίνονται, συλλογισμὸς, ἐπαγωγὴ, ἐνθύμημα, παράδειγμα. συλλογισμὸς ἀπὸ τῶν καθόλου τὰ κατὰ μέρη κατασκευάζει, οἷον πᾶσα προδοσία κακὸν. προδότης Αἰσχίνης, οὐκοῦν ἕτεροι καὶ Αἰσχίνης κακόν. ἐπαγωγὴ ἀπὸ μερικῶν τὸ καθόλου· πᾶς ἄνθρωπος τὴν κάτω γένυν κινεῖ, καὶ ἵππος καὶ κάμηλος καὶ ὄνος· οὐκοῦν ἆρα πᾶν ζῶον τὴν κάτω γένυν κινεῖ. τοῦτο δὲ οὐ πάντως ἐστίν, ἀμέλει ὁ κροκόδειλος τὴν ἄνω γένυν κινεῖ. τὰ μὲν γὰρ καθόλου τῶν μερικῶν διϊκνεῖται, τὰ δὲ μερικὰ οὐ πάντως τῶν καθόλου. ταῦτα μὲν οὖν β ἡ διαλεκτικὴ κέκληται καὶ χρῆται αὐτοῖς, ἡ δὲ ῥητορικὴ τό τε ἐνθύμημα καὶ τὸ παράδειγμα· ἐνθύμημα μὲν οὖν ἐστὶν ἀτελὴς συλλογισμὸς καὶ οὐκ ἔχων ἀπὸ τοῦ συμπεράσματος τὸ ἀναγκαῖον ὥσπερ ἐκεῖνος· ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθεὶς ταῦτα πράττων καὶ κατασκευαζόμενος οὗτος ἐμοὶ πολεμεῖ, κἂν μήπω βάλλῃ μηδὲ τοξεύῃ· οὐκέτι γὰρ ἐπήνεγκεν ὥσπερ ἐν συμπεράσματι· οὐκοῦν καὶ Φίλιππος ταῦτα ποιῶν πρόδηλος ἡμῖν πολεμεῖ. παράδειγμα δὲ ἡ ἐκ τῶν παραλαβόντων ὁμοίωσις ὡς

Vers. 1. vid. pag. 55. — 20. καὶ ἵππος . . . κινεῖ ex margine. — 29. Demosth. pag. 115, 10.

*) Fol. 152. b.

ἐν τῷ πρώτῳ Φιλιππικῶν: εἰ γὰρ ὤφ' ἥκομεν Εὐβοεῦσι βεβοηθηκότες. ὃ ἐστὶν ἡ κολακευτικὴ ἦν Ἀριστογείτων καὶ οἱ περὶ αὐτὸν μετήρχοντο, ἐν μὲν δικαστηρίῳ συκοφαντικὴν ὄφιν τυραννίδα αὐτὴν ἔλεγον, ἐν δ' ἐκκλησίαις κολακικὴν ἐμπειρίαν ἣν ὁ Δημάδης μετήρχετο ναύτης ὤν, ἐπιπηδήσας δὲ τῇ τέχνῃ καὶ ἀλόγως αὐτὴν μετερχόμενος. καὶ οὗτοι μὲν οὕτως πρὸς ἀπέχθειαν καὶ ἡδονὴν ὁρίζονται. Διονύσιος δὲ ἐπιγενόμενος ὁ Ἁλικαρνασεὺς καὶ τῶν μὲν τὴν χάριν οὐκ ἀποδεξάμενος, τῶν δὲ τὴν λοιδωρίαν μισήσας ὅρον αὐτῇ τὸν οἰκεῖον ἀποδέδωκεν εἰπών: ῥητορικὴ ἐστι δύναμις τεχνικὴ πιθανοῦ λόγου ἐν πράγματι πολιτικῷ τέλος ἔχουσα τὸ εὖ λέγειν.

Ἐπειδὴ τοίνυν ἔγνωμεν περὶ τῆς ῥητορικῆς, ἀναγκαῖον ἐπὶ τούτοις μαθεῖν καὶ τοῦ ῥήτορος τὸν λόγον. ἔργα οὖν *) ῥητορείας γ, νόησις, εὕρεσις, διάθεσις. νόησις μὲν εἰς ὃ διαιρεῖται, γνῶναί τε τὸ πρόβλημα πολιτικὸν ἢ μὴ· τῶν γὰρ προβλημάτων τὰ μέν ἐστι πολιτικά, τὰ δὲ φιλόσοφα, τὰ δὲ ἰατρικά, τὰ δὲ μέσα τούτων ἃ πολιτικὴν μὲν ἔχει τὴν ζήτησιν, ὕλην δὲ ἰατρικὴν ἢ φιλόσοφον. καὶ περὶ μὲν πολιτικῶν εὐδηλον τίνα φύσιν ἐπιδέχεται, τὰ δὲ ἰατρικὰ τοιαῦτά ἐστιν, οἷον διὰ τί τὰ βρέφος ἓξ μὲν μηνῶν ὂν οὐ ζῇ, ζ δὲ γεννώμενον ἢ θ ζῇ. φιλόσοφα δὲ εἰ ἡ ψυχὴ ἀθάνατος. τὰ δὲ μικτά, οἷαν ἐχκύμονά τις ἔτυψε κατὰ γαστρὸς καὶ κρίνεται φόνου. ἐνταῦθα γὰρ τὰ μὲν πλάσμα ἦγουν ἡ ζήτησις πολιτική, ἡ δὲ ὕλη ἰατρική, ἐκ δὲ φιλοσοφίας μικτά, οἷον ζωγράφῳ φιλόσοφος δοὺς χρήματα εἶπε τὸ κάλλιστον τῶν ζώων γράψαι, ὁ δὲ τὸν κύνον ἐποίησε καὶ κρίνεται βλάβης. ἐνταῦθα ζητητέον εἰ ὁ κύκνος ὅπερ ἴδιον φιλοσοφίας, ἡ μέντοι ζήτησις ἡ περὶ τῆς βλάβης πολιτική. ἐνταῦθα μέντοι δεῖ τὸν μελετῶντα τοῖς ἐπισταμένοις ἀνατιθέναι τὰς αἰτίας, καὶ ὁ Λυσίας ἐν τῷ περὶ ἀμβλώσεως κρίνων φόνου αἴτιον βιάζεται ζῶον τὸ βρέφος ἀποδεικνύναι καὶ παν-

---

Vers. 12. cod. πολιτικοῦ, — 31. seqq. vid. pag. 135.

*) Fol. 133. a.

ταχοῦ φησὶν ὥσπερ οἱ ἰατροὶ καὶ αἱ μαῖαι ἀπεφήναντο. καὶ ταῦτα μὲν οὖν τὰ προβλήματα. δεῖ δὲ νοήσαντα πρῶτον τὸν ῥήτορα καταμαθεῖν εἰ συνέστηκεν· ἐνδέχεται γὰρ πολιτικὸν μὲν εἶναι, ἀσύστατον δὲ. κατὰ δὲ τὴν νόησιν δεῖ καὶ τὸ εἶδος ἐπιγνῶναι ἐφ' ὃ ἀνάγεται ἢ δικανικὸν ἢ συμβουλευτικόν. γ καὶ τὴν στάσιν εἰς ἣν τὸ πρόβλημα ἀναφέρεται. μετὰ δὲ τὸ νοῆσαι ἔστιν εὑρεῖν. εὕρεσις δὲ εἰς δύο διαιρεῖται, εἰς ἐνθύμημα καὶ παράδειγμα ὧν τὸ μὲν ἕτερον ἴδιον τοῦ ῥήτορος, τὸ δὲ παράδειγμα ἐκ τῶν παρ' ἑτέρων λαμβανομένων τὴν πίστιν ἐργάζεται, ἐνίοτε δὲ καὶ ἐναλλὰξ εὑρίσκεται ταῦτα τῇ μὲν ὑποταττομένου παραδείγματος τῷ ἐνθυμήματι ὡς ἐν πρώτῳ Φιλιππικῶν. μετὰ γὰρ τὸ δεῖξαι ὅτι λυσιτελεῖ τοῖς Ἀθηναίοις ἡ τῶν Ὀλυνθίων σωτηρία φησὶν: εἰ γὰρ ὅθ' ἥκομεν Εὐβοιεῦσι βοηθηκότες. ἀλλαχοῦ μεταλλάξας εἶπεν ὅτι ἀπηγγέλθη Φίλιππος τρίτον ἔτος τουτὶ Ἡραῖον τεῖχος πολιορκῶν καὶ ἐπενεγκὼν ὁ καιρὸς αὐτὸς αὐτοῦ καὶ τὰ λοιπά. δεῖ δὲ μὴ μόνον εὑρεῖν ἀλλὰ καὶ ἑρμηνεῦσαι, ἑρμηνείας δὲ ἀρεταὶ σ, σαφήνεια, συντομία, πιθανότης, ἑλληνικὴ λέξις. ἡ δὲ διάθεσις εἰς δύο διαιρεῖται, εἰς τάξιν καὶ οἰκονομίαν. *) τάξις μὲν ὡς ἂν εἴπω ὅτι ἐν τῇ πραγματικῇ πρῶτον μὲν τὸ δίκαιον, εἶτα τὸ συμφέρον. καὶ αὕτη μὲν ἡ τάξις. οἰκονομία δὲ ἡ πρὸς τὸ συμφέρον τῶν κεφαλαίων ἐναλλαγὴ ὡς Δημοσθένης ἐν τῷ περὶ στεφάνου ἐπειδὴ κατὰ τὸ νόμιμον ἠσθένησεν, ἔρρωτο τῷ δικαίῳ. προὔταξε μὲν τὸ δίκαιον εἰς δύο διελὼν εἶτα τὸ νόμιμον καὶ μετ' αὐτὸ πάλιν τὸ δίκαιον, καὶ τῇ τοῦ δικαίου ἑκατέρωθεν βοηθείᾳ τὸ ἀσθενὲς τοῦ νομίμου κατέκρυψε. τινὲς δὲ καὶ δύο ἕτερα προσῆψαν τούτοις, μνήμην τε καὶ ὑπόκρισιν ἅπερ φαμὲν μὴ εἶναι τοῦ ῥήτορος συστατικά, ἐπειδὴ μηδ' ἐν μελέτῃ πέφυκε γίγνεσθαι, ἀλλὰ φύσεώς ἐστι πλεονέκτημα.

Ἑξῆς ῥητέον περί τε σκοποῦ τοῦ παρόντος συγγράμματος καὶ χρησίμου καὶ συγγραφέως καὶ γνησιότητος καὶ ἐπιγραφῆς καὶ ἐπὶ ποῖον εἶδος τῆς ῥητορικῆς ἀνά-

*) Fol. 133. b.

γεται ὁ σκοπός. σκοπὸς τοίνυν ἐστὶν αὐτῷ περὶ προτάσεως γενικῶν προβλημάτων. τὸ δὲ χρήσιμον ἐντεῦθεν σκοπητέον· τῆς ῥητορικῆς τὸ μέν ἐστιν ἐξηγητικὸν, τὸ δὲ λεκτικὸν. οὐδέτερον οὖν τούτων εἰδέναι δυνατὸν ἀμύητον ὄντα τοῦ παρόντος συγγράμματος. διελεῖν μὲν λόγον ἀρχαῖον χωρὶς τέχνης ἀδύνατον, εἰπεῖν δέ τι καινότερον ἐκ τῆς τέχνης πάλιν ἀδύνατον. Περὶ δὲ συγγραφέως οἱ μὲν λέγουσιν Ἑρμογένην τὸν συγγραφέα ὡς Φιλόστρατος ἱστορεῖ ἐν τοῖς βιβλίοις τῶν σοφιστῶν καὶ φησὶν αὐτὸν γεγονότα φύσεως δυνάμει χρησάμενος ἐπὶ τὸ γράφειν ἐληλυθέναι, καὶ νέον μὲν ὄντα διὰ τὸ εὐφυὲς εἰς γνῶσιν Μακρῷ καταστῆναι τῷ βασιλεῖ, εἰς ἄνδρας δὲ ἐλθόντα τὴν τῶν λόγων δύναμιν ἀποβαλεῖν ὑπ' οὐδεμιᾶς νόσου, ὡς δέ τινες τὴν αἰτίαν βούλονται λέγειν φασὶν ὅτι νέῳ μὲν ὄντι τὸ θερμὸν πλεονάσαν τοσαύτην ἐνεποίησε περὶ τοὺς λόγους ἰσχύν, ἐπὶ γῆρας δὲ ἥκοντι τὸ θερμὸν ἀποσβεσθὲν συνεῖλε τοὺς λόγους, καὶ ἦν ἐντεῦθεν εὐκαταφρόνητος ὅθεν οἱ τοῦτον ἐπιτοθάζειν βουλόμενοι γέροντα μὲν ἐν νέοις ἐκάλουν, ἐν δὲ γηράσκουσι παῖδα. καὶ ὅτι τούτου φασὶν εἶναι τὸ σύγγραμμα, πίστιν ἐντιθέασι ταύτην ὡς πεποίηται μὲν αὐτῷ ὁ περὶ ἰδεῶν, τῇ δ' αὐτῇ ἐπαγγελίᾳ ἐχρήσατο νῦν καὶ ἐνταῦθα, ἡμεῖς δὲ εἴτε τούτου ἐστὶν, εἴθ' ἑτέρου ὡς φασί τινες, μηδὲν τῆς προσηγορίας διενεχθέντες ὡς χρήσιμον τὸ σύγγραμμα δεχόμεθα. ἀκόλουθον ἐπὶ τούτοις περὶ τάξεως τοῦ βιβλίου διαλαβεῖν καὶ δῆλον ὅτι προσηκούσης *) ἔτυχε τάξεως. γ γάρ εἰσι ῥητορικαὶ ἃς καὶ αὐτὸς Ἑρμογένης συνεγράψατο ἥ τε τῶν προγυμνασμάτων καὶ ἡ παροῦσα τῶν στάσεων καὶ ἡ περὶ τῶν ἰδεῶν. εἰ μὲν οὖν ἱκανὸν ἦν εὐθὺς ἐξ ἀρχῆς τῷ περὶ στάσεων ἐγχειρῆσαι βιβλίῳ, εὔδαιμον ἦν. ἐπειδὴ δὲ τῶν ἀνθρώπων φύσις οὐ πέφυκεν εὐθέως τῶν μεγάλων ἀντιλαμβάνεσθαι, ἀλλὰ δὴ πρότερον τοῖς βραχέσιν ἐζήτησαν οὕτως ἐπὶ τὸ μεῖζον ἐλθεῖν. ἀναγκαίως οἱ παλαιότεροι τῶν σοφιστῶν προγυμνάσματα πρῶτον ἐδίδαξαν, εἶτα κατὰ β τάξιν τὰς στάσεις καὶ τριτὸν

Vers. 9. vid. Philostr. pag. 577 Olear.

*) Fol. 134. a.

τὸ περὶ ἰδεῶν· μῦθος μὲν γὰρ καὶ χρεία καὶ γνῶσις καὶ θέσις εἰς τὸ τῆς συμβουλῆς εἶδος ἀνάγεται, ἐγκώμιον δὲ καὶ ψόγος καὶ σύγκρισις εἰς τὸ πανηγυρικόν, ἀνασκευὴ δὲ καὶ κοινὸς τόπος νόμου εἰσφορὰ εἰς τὸ δικανικόν, καὶ ἐζήτησαν διὰ τί τελείου ὄντος τοῦ ἐγκωμίου μετὰ τῶν προγυμνασμάτων τὴν τάξιν ἐποιήσαντο καὶ φαμὲν ὅτι συναναμέμικται τοῦτο μετὰ τῶν β εἰδῶν, τοῦ τε συμβουλευτικοῦ καὶ τοῦ δικανικοῦ ὥσπερ Δημοσθένης ἐποίησεν ἐν μὲν συμβουλευτικῷ τοὺς προγόνους ἐγκωμιάζων. καὶ τούτῳ τοὺς ἀνθρώπους εἰς τύδε προτρέπομεν, ἐν δὲ τῷ δικανικῷ τῷ περὶ τοῦ στεφάνου ἐγκώμιον παραλαβὼν περὶ αὐτοῦ πολιτικὰ καὶ ψόγον Αἰσχίνου διὰ τοῦτο γοῦν ἐπειδὴ τούτοις συνεπλέκετο τὸ εἶδος ὡς μερικὸν μετὰ τῶν προγυμνασμάτων ἐτάχθη. εἰκότως οὖν κατὰ β τάξιν τὸ περὶ στάσεων διδασκόμεθα, εἶτα μετὰ τοῦτο τὸ περὶ τῶν ἰδεῶν. πρότερον γὰρ δεῖ νοῆσαι καὶ διελεῖν τὰ κεφάλαια καὶ οὕτως ἅπερ ἐννοούμεθα καὶ ἡ τέχνη παρέχει φράζειν. β γάρ ἐστι τὰ συνιστῶντα τὸν λόγον, δύναμις καὶ ἡδονή, καὶ ἡ μὲν δύναμις ἐν τοῖς ἐνθυμήμασι καὶ τοῖς κεφαλαίοις ἀναφαίνεται, ἡ δὲ ἡδονὴ διὰ τῆς φράσεως λαμβάνει τὴν ἰσχύν· τά τε σχήματα καὶ τὰ ἤθη καὶ ὅσα ἕτερα τῆς ἡδονῆς ἐστὶ παραστατικά. ζῶον γὰρ πρὸς τῶν παλαιῶν ὁ λόγος ὠνόμασται καὶ ὃν τρόπον τὸ ζῶον ἐκ ψυχῆς συνέστηκε καὶ σώματος, οὕτως καὶ ὁ λόγος ἐκ ψυχῆς μὲν οἱονεὶ τῶν ἐνθυμημάτων ἐστὶν, ἐκ δὲ σώματος τῆς φράσεως. καὶ ταῦτα μὲν ἀπείληφε τὴν τάξιν εἰκότως. περὶ δὲ τῆς ἐπιγραφῆς ἐκεῖνο λεκτέον, ὡς ἐπέγραψάν τινες Ἑρμογένης περὶ τέχνης ῥητορικῆς. ἁμαρτάνουσι δὲ οὗτοι τοῦ δέοντος· οὐ γὰρ περὶ πάσης ῥητορικῆς τέχνης πρόκειται ὁ σκοπός. αὐτίκα περὶ προοιμίων καὶ διηγήσεων καὶ τῶν ἄλλων ἕτεροι μὲν συνεγράψαντο ὥσπερ Ἀπολλιανὸς καὶ περὶ τοῦτο καταγινόμενοι, Ἑρμογένης δὲ περὶ τούτων οὐδενὸς παραδίδωσιν. οἱ δὲ περὶ στάσεων ἐπιγράφοντες τὸν ἀληθῆ τοῦ τεχνογράφου σκοπὸν ἐποιήσαντο, ἀλλ' ἐπειδὴ περὶ

Vers. 33. conf. Platon. Phaedr. pag. 76 Bekk.

στάσεων ἐμνήσθημεν, ἀναγκαῖον καὶ τὰς παρὰ ταύτης δόξας εἰπόντας τῶν ὡρισμένων εἶτα τὴν ἀντιλογίαν ποιησαμένους τὸν ἀληθέστερον ὅρον ἐκθέσθαι. τινὲς οὖν εἶπον στάσιν εἶναι καὶ ἀμφισβήτησιν δυοῖν προσώπων περὶ τὸ ὡρισμένον πρᾶγμα· οὐχ ὑγιὴς δὲ οὗτος ἐστίν· οὐ γὰρ ἔχει τὸ ἴδιον τῆς ῥητορικῆς, αὐτίκα γοῦν καὶ γραμματικοὶ ἀμφισβητοῦσι καὶ ὡρισμένον ἔχουσι τὸ ζητούμενον. ἄλλοι δὲ οὕτως ὡρίσαντο: στάσις ἐστὶ τὸ ἐκ τῶν δύο προσώπων καὶ στάσεων συνιστάμενον. οὗτος δὲ ὁ ὅρος ἔοικε τοῦ ζητήματος εἶναι μᾶλλον ἢ τῆς στάσεως ἄλλως τε οὐδὲ τὸ ἴδιον ἔχει τῆς ῥητορικῆς· συναπενήνεκται γὰρ τῷ πρώτῳ ὁρίσαντι. ὁ δὲ ἀληθὴς οὗτος ἐστὶ: στάσις ἐστὶν ἀμφισβήτησις λογικὴ καθ' ἣν αἱ διαιρέσεις τῶν κεφαλαίων γίγνονται εἰς πίστιν κομιζομένων. λογικὴ μὲν ἔνεστι τῷ ὅρῳ ἐπειδὴ καὶ ἄλλαι πολλαὶ δι' ἔργων ἀμφισβητήσεις γίγνονται οἷον αἱ τῶν αὐλητῶν καὶ τῶν ὁμοίων, τὸ δὲ καθ' ἣν αἱ διαιρέσεις τῶν κεφαλαίων πρὸς ἀντιδιαστολὴν τοῦ προβλήματος· ἴδιον γὰρ τῶν στάσεων τὰ κεφάλαια τοῦ ῥήτορος· οἱ γὰρ φιλόσοφοι οὐκ οἴδασιν εἰς κεφάλαια τοὺς λόγους διαιρεῖν, ἀλλὰ τὸ ἀνυόμενον ἐκ τῶν λόγων καλοῦσι κεφάλαια.

ΠΡΟΛΕΓΟΜΕΝΑ ΤΗΣ ΡΗΤΟΡΙΚΗΣ. *)

Τὴν ῥητορικὴν διαφόρως τινὲς ὡρίσαντο, Πλάτων μὲν γὰρ εἶπεν αὐτὴν πειθοῦς δημιουργόν· οὐκ ἀποδεκτὸς δὲ οὗτος ὁ ὅρος, καὶ γὰρ καὶ κάλλος πείθει ὥσπερ τὸν Ἑλένην οἱ τῶν Τρώων δημογέροντες ἰδόντες καίτοι πολλὰ κακὰ δι' αὐτὴν πάσχοντες εἶπον: οὐ νέμεσις τρῶας καὶ τὰ ἑξῆς. καὶ Φρύνη δὲ ἀσεβείας κρινομένη διαῤῥήξασα τὸν χιτωνίσκον οὕτως ἔπεισε τοὺς δικαστὰς ἐνδοῦναι καὶ Μιλτιάδης περὶ προδοσίας κρινόμενος οὐδὲν εἰπὼν τὸ πάθος ὑπέδειξε καὶ ἤρκεσεν ἀντὶ ῥητορείας ἤθεα. Ἀριστοτέλης δὲ δύναμιν τεχνικὴν τοῦ περὶ ἕκαστον ἐνδεχομένου πιθανοῦ λόγου. οὐδ' οὗτος ἀποδεκτέος. ἁρμόζει δὲ καὶ τῇ διαλεκτικῇ. ἄλλοι δὲ ὡρίσαντο ταύτην οὕτως: δύναμις ἀνασκευαστικὴ καὶ κατασκευαστικὴ δικαίων τε καὶ ἀδίκων πραγμάτων. οὐκ ἀποδεκτέος οὐδ' οὗτος· κοινὸς γάρ ἐστι πάσῃ τέχνῃ καὶ τὸ ἀγαθὸν καὶ τὸ κακὸν ἐπισταμένῃ. ἕτεροι δὲ οὕτως: ἐπιστήμη τοῦ εὖ λέγειν. ἡμάρτηται δὲ καὶ οὗτος ἐπιστήμην αὐτὴν καλῶν ἣν ὁ Πλάτων ἐν Γοργίᾳ πολιτικῆς μορίου εἴδωλον τοῦ δικαστικοῦ δηλαδὴ ὀνομάζει· οἱ δὲ Ἑρμαγόρειοι οὕτως: δύναμις περὶ λόγον τέλος ἔχουσα τὸ πείθειν ὅσον ἐφ' ἑαυτῇ. ἐλλιπὴς δὲ καὶ οὗτος· οὐ γὰρ περιέχει τὸ ὑποκείμενον τουτέστι τὰ πολιτικὰ πράγματα· τὸ μέντοι δύναμις πρᾶγμά ἐστιν ἐν μεσότητι ᾧ ἔξεστι καὶ καλῶς καὶ κακῶς χρήσασθαι ὡς πλοῦτος, ἰσχύς, μάχαιρα, οἷς ὅμοιόν ἐστι καὶ ἡ ῥητορική. Διονύσιος δὲ ὁ Ἁλικαρνασεὺς οὕτως: δύναμις τεχνικὴ πιθανοῦ λόγου ἐν πράγματι πολιτικῷ τέλος ἔχουσα τὸ πιθανῶς εἰπεῖν κατὰ τὸ ἐνδεχόμενον.

*) Cod. Monac. CCCXXVII. Fol. 1.

Ἀλλὰ *) περὶ μὲν τοῦ προκειμένου ὁρισμοῦ ταῦτα· οὐ χεῖρον δὲ καὶ τὸν τῆς ῥητορικῆς αὐτῆς ὁρισμὸν παραθεῖναι· ῥητορικὴ τοίνυν ἐστιν ὡς Διόδωρος φησὶ δύναμις εὑρετικὴ καὶ ἑρμηνευτικὴ μετὰ κόσμου τῶν ἐνδεχομένων πιθανῶν ἐν παντὶ λόγῳ· δύναμις μὲν οὖν ἐστὶ πρᾶγμα ἐν μεσότητι ᾧ ἔξεστι καὶ καλῶς καὶ κακῶς χρήσασθαι, οἷον πλοῦτος, ἰσχύς, μάχαιρα. τούτοις γὰρ χρήσαιτ' ἄν τις καλῶς καὶ πρὸς τἀναντία, καὶ τοίνυν καὶ τὴν ῥητορικὴν διὰ τοῦτο ἐκάλεσε δύναμιν, ἐπειδὴ χρήσαιτ' ἄν τις αὐτῇ καὶ πρὸς τὰ [μὴ] καλὰ καὶ τὰ μὴ τοιαῦτα· εὑρετικὴν δὲ καὶ ἑρμηνευτικὴν, ἐπειδὴ τοῦτο ἔργον τοῦ ῥήτορος τὸ ἐν παντὶ τῷ προτεθέντι προβλήματι νοῆσαι τὰ δέοντα καὶ οἰκονομῆσαι καλῶς καὶ ἑρμηνεῦσαι ἄριστα. τέλος δὲ οὐ τὸ πεῖσαι πάντως· τοῦτο γὰρ καὶ τῷ Σταγειρίτῃ δοκεῖ, ἀλλὰ πειστικῶς εἰπεῖν μηδὲν τῶν ἐνδεχομένων εἰρῆσθαι παραλιπόντα. ταύτῃ καὶ ὁ ἐν Γοργίᾳ Σωκράτης πειθοῦς αὐτὴν φησὶ δημιουργόν. ῥητορικὴ δὲ εἴρηται ἤτοι ἀπὸ τοῦ ῥύδην λέγειν ἢ ἀπὸ τοῦ συνηγορεῖν τῷ νόμῳ. ῥῆτραν γὰρ τὸν νόμον φασὶν οἱ Δωριεῖς. περὶ μὲν οὖν ῥητορικῆς ἐπὶ τοσοῦτον πρὸς τὸ παρόν.

Ἔστι **) δὲ καὶ ἄλλα πολλὰ εἴδη ὥσπερ ἤδη καὶ μικρὸν ἔμπροσθεν ἐπεσημηνάμεθα, ἀγόμενα ὑπὸ τὸ πανηγυρικὸν ἰδίας διαιρέσεως δεόμενα ὥσπερ καὶ ὑπὸ τὸ δικανικὸν καὶ συμβουλευτικόν· μᾶλλον δὲ χρὴ καὶ περὶ αὐτῶν δι' ὀλίγων εἰπεῖν, οὕτω γὰρ ἂν ταῖς περὶ ἐκείνων τῶν εἰδῶν τέχναις ἐπιμελέστερον ἐντευξόμεθα· τῶν γὰρ τεχνογράφων οἱ μὲν ἀπὸ τῶν ὑποκειμένων προσώπων μόνον ἐχαρακτήρισαν τοὺς λόγους καὶ ἐν τρισὶν εἴδεσιν ἔστησαν τῆς ῥητορικῆς, λέγοντες ὡς οἱ ὑποκείμενοι ἡμῖν ἀκροαταὶ ἢ ἐκκλησιάζουσιν ἢ δικάζουσιν ἢ πανηγυρίζουσι, καὶ δεῖ πάντως ἑνὸς τῶν εἰδῶν εἶναι τούτων

---

*) *Schol. in* Aphthon. cod. VIII. fol. 63, b. — Vers. 3. vide supra *pag. 101. not. 41.* —

**) *Schol.* Aphthonii cod. VIII. fol. 98. seq.

τούτων τὸν λόγον τὸν λεγόμενον. οἱ δὲ οὐκ ὠήθησαν δεῖν τρία μόνον ὀνομάζειν εἴδη, ἀλλ' εἰς πλείονα ἐξέτειναν καὶ ἐμοὶ δοκεῖ πρὸς τοῦτο ἐκινήθησαν πειθέντες ὑπὸ τοῦ ΑΡΙΣΤΟΤΕΛΟΥΣ. ὁ ἀνὴρ γὰρ ἐκεῖνος αἰδέσιμος ὢν τέταρτον περὶ τὰ τρία τὰ προλεχθέντα τὸ ἱστορικὸν ἐκάλεσε, μικτὸν ἀπὸ τῶν τριῶν εἶναι εἰπών. εἰ δὲ δοίη τις εἶναι τέταρτον ὥσπερ οὖν καὶ δεῖ δοῦναι, οὐδὲν κωλύει καὶ τοῖς ἄλλοις ἕπεσθαι τοῖς μεχρὶ τριάκοντα εἰδῶν, οἶμαι, προελθοῦσιν, ἴσως δ' ἂν εὑρεθείη καὶ πλείονα· σχεδὸν γὰρ ὅσα ἐν ἀνθρώποις πράγματα, τοσοῦτοι καὶ λόγοι. ἀλλὰ λήσεταί τις ὅτῳ σύγχυσιν ἐργαζόμενος, διὸ ὑπ' ἐκεῖνα τὰ παρὰ τῷ ΚΟΥΡΝΟΥΤΩΙ ὀνομαζόμενα καὶ ΠΟΡΦΥΡΙΩΙ ἅπαντα χρὴ πειρᾶσθαι ἀνάγειν τὰ πράγματα εἰδοποιοῦντας αὐτῶν τὰς ὑποθέσεις. δύναιτο δ' ἄν τις καὶ ἐκείνων τὴν μὲν διαίρεσιν διαφορὰν λέγειν, ἀνάγειν δὲ αὐτὰ ἐπὶ τὰ τρία εἴδη εἰ προσέχοι τοῖς ὑποκειμένοις προσώποις καὶ τῷ ἑκάστου τῶν τῆς ῥητορικῆς εἰδῶν τέλει, οἷόν τι λέγω τοῦ δικανικοῦ τέλος τὸ δίκαιον ὅπερ ἐκ ψήφου τῶν δικαστῶν κατὰ τοὺς νόμους κρινόντων δείκνυται. ἆρα οὖν οἱ ἀντιῤῥητικοὶ ἐπεὶ πρός τινας ἔχουσι τοὺς ἀγῶνας εἶεν ἂν τοῦ δικανικοῦ, ἀλλ' οὐκ ἂν εἴποι τις· οὐδὲ γὰρ οἱ ἀκροαταὶ ὑπόκεινται ὡς μέλλοντες ζημίαν ἐπάγειν τινὰ ἣν νόμοι διώρισαν ὥστε μᾶλλον ἂν ὑπὸ τὸ πανηγυρικὸν εἶδος τάττοιντο, καὶ ὅλους τοὺς νομοθετικοὺς, τοὺς χαριστηρίους, τοὺς πρὸς ἀπολογίαν αἰτιῶν οὐκ ἐχουσῶν τιμωρίαν ἐκ νόμων ἑπομένην ἀλλὰ πρὸς διαβολὴν μόνην μεμηχανημένους πάντας τοὺς περὶ τῶν τοιούτων πραγμάτων ἔξεστι τάττειν ὑπὸ τὰ εἴδη τὰ τρία, εἰ βούλοιτό τις διάζεσθαι καὶ προσδέχεσθαι τὴν εἰς πλείονα τομὴν, τὰς δὲ ὕλας δι' ὧν κατασκευάζονται ἐπιπλέκειν· εἰ γὰρ καὶ ἐπὶ τοῦ πανηγυρικοῦ Ἰσοκράτους καὶ ἐπὶ τοῦ περὶ στεφάνου Δημοσθένους ὁμολογουμένως ὄντος τοῦ μὲν τοῦ δικανικοῦ, τοῦ δὲ τοῦ συμβουλευτικοῦ εἴδους, αἱ ὕλαι ἐκ τοῦ πανηγυρικοῦ παρελήφθησαν, τί κωλύει τοιαύτας εἶναι μίξεις καὶ ἐπιπλοκὰς καὶ ἐπὶ τῶν ἄλλων

Vers. 4. conf. supra pag. 185 not. 23.

εἰδῶν ἵνα ἕτερόν τι ἔχῃ τέλος ὁ λόγος ὅπερ ἐκ τῶν ὑποκειμένων μὲν ἀκροατῶν εὑρίσκεται, ἐξ ἑτέρας δὲ ὕλης κατασκευάζεται· οὕτω καὶ ὁ ὑπὲρ τῶν τεσσάρων Ἀριστείδου, τοῦ ἀντιῤῥητικοῦ ἂν λέγοιτο, καὶ πολλοὶ ἂν εὑρεθεῖεν οἱ λόγοι αὐτοῦ τοῦ Ἀριστείδου καὶ τῶν κατ' αὐτὸν καὶ τῶν χρόνοις ὕστερον σοφιστῶν δυνάμενοι δεικνύναι καλῶς δόξαντας καὶ τοὺς στῆναι μεχρὶ τριῶν εἰδῶν ἐλομένους. ἀλλὰ περὶ μὲν τούτων ταῦτα.

Ὅτι *) ἀπὸ τῶν ἠθῶν ἐν Σικελίᾳ εὑρέθη Φαλάριδος ἐπασκήσαντος τῷ λέγειν, εἶτα Κόραξ καὶ Τισίας ὁ μαθητὴς αὐτοῦ, εἶτα Γοργίας ὁ Λεοντῖνος εἰς Ἀθήνας καὶ Ἰσοκράτης ἔγραψαν τέχνην καὶ μεγάλοι ἐγένοντο καὶ ἐπίῤῥημον τὸ τῆς ῥητορικῆς ὄνομα ἐποίησαν ἐν τῇ Ἑλλάδι. ὅτι μετὰ τὰ Μακεδονιακὰ ἐσβέσθη τὸ τῶν ῥητόρων ὄνομα, καὶ φευκτὸν καὶ βαρὺ καὶ ὁλοκίνδυνον ἐδόκει. Ἀντίπατρος δὲ ἐξ Ἀθηνῶν ῥήτορας ἀπέκτεινε μ, καὶ ῥ ἐκ πάσης τῆς Ἑλλάδος. ἔπειτ' ἀκμασάντων τῶν Ῥωμαικῶν πραγμάτων Ἑρμαγόρας ἔγραψε πολιτικὴν τέχνην καὶ Λολλιανός. Ἑρμαγόρας στάσεις οἶδεν ζ, Λολλιανὸς ε. πρῶτος δὲ Μινουκιανὸς ἐξέθετο περὶ τῶν ιγ στάσεων, ἔπειτα γενόμενος ὁ Ἑρμογένης τούτου πολλῆς ἀσφαλείας κατέγνω, αὐτὸς δὲ μετὰ ἀκριβείας ἐξέθετο ὡς τοῦ Μινουκιανοῦ προκρίνεσθαι.

Ἐπειδὴ **) γὰρ πάσης ὑποθέσεως μέρη ε εἰσίν, προοίμιον, διήγησις, ἀνατίθεσις, λύσεις, αἱ λεγόμεναι πίστεις, ἐπίλογος, τὸν λόγον περὶ προοιμίου ποιήσασθαι προσήκει μοι καὶ οὐ περὶ τῶν λοιπῶν· ἀρκούντως γὰρ τῷ τε Ἑρμογένει καὶ Πορφυρίῳ καὶ ἑτέροις περὶ αὐτῶν λέλεκται. τινὲς δὲ προστιθέασι καὶ ἕτερα τρία, ἔφοδον, παρέκβασιν. αὖ-

*) Schol. in Aphthon. progymn. edd. VIII. Vol. III. b.
**) Schol. in Hermog. περὶ εὑρέσεως Vol. V. a. edd. VIII.

ξησιν, καὶ φαμὲν εἶναι ταῦτα ἕτερα παρὰ τὰ εἰρημένα. ἔφοδος γάρ ἐστιν ἡ προθεραπεία ὃ λέγεται προοίμιον· προθεραπεύει γὰρ τοὺς ἀκροατὰς τὸ προοίμιον ὥστε δέξασθαι τὸν λόγον κατὰ τὴν βούλησιν τοῦ λέγοντος. ἡ δὲ αὔξησις ὁ ἐπίλογός ἐστιν. καὶ γὰρ ἕνεκεν τοῦ θυμικὸν ποιῆσαι τὸν δικαστὴν ἢ ἱλαρὸν, ἢ τοὺς ἀκροατὰς ὁρμητικωτέρους πρὸς τὸ ἐπισφραγίσαι τὸν λόγον τῇ τοῦ λέγοντος γνώμῃ, ἐπινενόηται ὁ ἐπίλογος. ἡ δὲ παρέκβασις ἢ ἐν τῇ διηγήσει ἐστὶν, ἢ ἐν τοῖς ἀγῶσιν ἢ ἐν τῷ ἐπιλόγῳ. εἰ δ' οὐδ' ἑνὸς τούτων ἐστὶν, περιττόν ἐστι καὶ ἀχρεῖον καὶ ἁμαρτάνει ὁ ῥήτωρ χρώμενος αὐτῇ, ὥστε πέντε καθὰ εἰρηται μέρη ὑπάρχουσι πάσης ὑποθέσεως, προοίμιον, διήγησις, πίστις ἤγουν ἀντίθεσις καὶ λύσις τῶν ἀντικειμένων, ἐπίλογος... προοίμιόν ἐστιν λόγος ὑπεξεργαστικὸς εὐνοίας καὶ εὐμαθίας καὶ προσοχῆς. ἐκ τούτων θεραπεία γίνεται τριχῶς ὅταν ἢ τὸ αὐτῶν πρόσωπον παριστῶμεν, ἢ τὸ τοῦ ἀντιδίκου διαβάλλωμεν ἢ τὸ τῶν δικαστῶν ἐπαινῶμεν. καὶ τὸ ἡμέτερον, οὕτως εἰσάγωμεν, ἢ γὰρ ἔνδοξον καὶ θαρροῦντες ἐπαινοῦμεν, ἢ ἀδοξότερον καὶ αὐτῷ τούτῳ θεραπεύομεν καὶ τὸ τοῦ ἀντιδίκου ὁμοίως. ἢ γὰρ ὁμολογούμενόν ἐστιν τὸ ἀδίκημα αὐτοῦ καὶ φανερῶς αὐτοῦ κατηγοροῦμεν, ἢ ἔνδοξόν ἐστι τὸ πρόσωπον καὶ ὀφείλομεν μετὰ θεραπείας εἰσαγαγεῖν τὴν κατ' αὐτοῦ γραφὴν .... ἵνα δὲ μηδὲ ἃ καὶ ἕτεροι περὶ προοιμίων λέγουσιν ἐάσωμεν ἀμνημόνευτα, φασί τινες ὁριζόμενοι οὕτως: προοίμιόν ἐστιν ἀρχὴ σύμπαντος λόγου καὶ σπερματικῶς ἔχον τὰ τῆς ὑποθέσεως. ἐν αὐτῷ γὰρ τὸ πρᾶγμα μανθάνομεν.

Καινοπρεπές *) ἐστιν τὸ μὴ παρὰ πολλοῖς εὑρισκόμενον, ἀλλὰ παρ' ὀλίγοις τοῖς ἐν τῷ λόγῳ τὸ ἀξιόπιστον λίαν κεκτημένοις οἷον ὡς παρὰ τῷ ῥήτορι, οἷον εἰ καὶ μηδὲν ἄλλο ἀντὶ τοῦ εἰ καὶ μηδὲν ἄλλο. καὶ πάλιν θετταλοὶ δὲ οὐδένα πώποτε ὄντιναοῦν καὶ ὁ

*) Syrianus in Hermog. ideas fol. 30. a. cod. VIII. Vers. 13. leg. καὶ εἰ μηδὲ δι' ἓν ἄλλο. conf. Hermog. pag. 110 Ald. — 35. pag. 637. Reisk.

Θουκυδίδης: ἐπειδὴ μέντοι ἀντιπαραπλέοντάς τε ἑώρων αὐτοὺς παρὰ γῆν σφῶν κομιζομένων καὶ ἐκ πατρῶν τῆς ἀχαΐας πρὸς τὴν ἀντιπέρας ἤπειρον διαβαλλόντων ἐπὶ ἀκαρνανίας κατεῖδον τοὺς ἀθηναίους ἀπὸ τῆς χαλκίδος καὶ τοῦ εὐκυνοῦ ποταμοῦ προσπλέοντας σφίσι καὶ οὐκ ἔλαθον νυκτὸς ὑφορμισάμενοι, οὕτω δὴ ἀναγκάζονται ὑφορμεῖν. καὶ πάλιν βοηθησάντων δὲ ὑμῶν προθύμως πάλιν προσλήψεσθαι ναυτικὸν ἔχουσα μέγα· τῇ δὲ ὑστεραίᾳ ἐπὶ μὲν τὴν πόλιν οὐδὲ μᾶλλον ἐπέπλεον καίπερ ἐν πολλῇ ταραχῇ καὶ φόβῳ ὄντας, ἀντὶ τοῦ οὖσαν, ἠκολούθησε γὰρ τῇ σημασίᾳ. καὶ ὁ Ἀρριανὸς καὶ ἐπὶ τῷδε ἐπαινῷ τοὺς σοφιστὰς τῶν ἰνδῶν ὧν λέγουσιν. ἔστιν οὖν καταληφθέντας ὑπ' Ἀλεξάνδρου. καὶ Ξενοφῶν ἐπεὶ δὲ καὶ ἐνταῦθα ἐχώρουν οἱ Ἕλληνες, λείπουσι δὲ τοῦ λόφου οἱ ἱππεῖς, οὐ μὴν ἔτι οἱ ἄλλοι ἄλλοθεν, τότε ὁ λόχος τῶν ἱππέων. καὶ ἐν τῇ η Θουκιδίδου: καὶ ὀλίγον ἐπράσσετο οὐδέν. καὶ ἐν τῇ β οὐδὲν ὀλίγον ἐς οὐδὲν κακοπαθήσαντες. καὶ πάλιν ὀλίγον οὐδὲν ἐς οὐδὲν ἐπενόουν.

Vers. 1. Thucyd. II, 83. — 7. vid. III, 14. — 8. III, 79. — 12. Anabas. Alex. VII, 1. pag. 275. — leg. οὗς. — 16. Anab. I, 10, 9. — 20. VIII, 15. — 21. VII, 87. — 22. VII, 59.

INDEX AUTORUM.

Aeschines 182.
Agathon 92.
Alcidamas 76. 172. seqq.
Alexander 3.
Anaximenes 16. 182. 185. 188.
Andocides 107.
Antipho 97. 105. 112. 114. 118. 211. 215.
Apsines 110. 160.
Aristophanes 43.
Aristoteles 19. 20. 32. 45. 70. 72. 80. 88. 92. 94. 97. 102. 169. 175. 178. 223. 225.
Arrianus 228.
Caecilius 180.
Cephalus 105.
Chrysippus 177.
Corax 23. 211. 226.
Cornutus 225.
Critias 120.
Demetrius 76. 77. 197.
Demosthenes 131. 138. 162. 210. 215. 217. 218. 219, 227.
Dictys 6.
Diogenes Laert. 3.
Dionysius Halic. 67. 71. 163. 199. 218. 223.
Epicharmus 48.
Epicurus 8.
Euagoras 216.
Euexus 92.
Fronto 8. 127.
Gorgias 63. 84. encomium Helenes 71. fragmentum ex epitaphio 78. 211. 226.
Harpocration 124.
Hermias 33. 47. 95. 158.
Hermogenes 81. 114. 121. 223. 226.
Hipparchus 197.
Hippias 60. 173. 213.
Incertus 209.
Isocrates 54. 66. 72. 131. 149. 161. [vid. praefat.] 178. 226.
Licymnius 88.
Lollianus 3. 210, 211. 221. 226.
Longinus 11. 111.
Lysias 7. 107. 122. 218.
Minucianus 226.
Nicias 38.
Pericles 61.
Peripatetici 209. 210.
Philostratus 220.
Photius 65. 66.
Plato 15. 33. 40. 73. 85. 96. 99. 130. 135. 144. 211.

Plutarchus 35. 38.
Poeta incertus 20. 96. 104.
Polus 84.
Polycrates 75.
Porphyrius 225. 226.
Prodicus 46. 193. 213.
Protagoras 40.
Pyrrhus 211.
Quintilianus 34. 101. 183. 184.
Sopater 56.
Stoici 209. 213.
Suidas 105. 106.
Syrianus 56. 87.
Telephus 7.
Theodectes 156.
Theophrastus 139. 210.
Theramenes 122.
Thrasymachus 35. 93.
Thucydides 51. 208. 216. 228.
Tisias 37. 211.
Xenophon 57. 228.
Zenon 190.
Zoilus 180.

Stanford University Libraries
3 6105 002 393 283

DATE DUE			

STANFORD UNIVERSITY LIBRARIES
STANFORD, CALIFORNIA 94305-6004

GAYLORD